## 11 ΑΠΡΙΛΙΟΥ 2019

Ἀντίπα ἐπισκόπου Περγάμου ἱερομάρτυρος (†92). Τρυφαίνης ὁσίας τῆς ἐν Κυζίκῳ.

## Τῌ ΠΕΜΠΤῌ ΠΡΩΙ ΤΗΣ Ε΄ ΕΒΔΟΜΑΔΟΣ ΨΑΛΛΟΜΕΝ ΤΗΝ ΚΑΤΑΝΥΚΤΙΚΗΝ ΑΚΟΛΟΥΘΙΑΝ ΤΟΥ ΜΕΓΑΛΟΥ ΚΑΝΟΝΟΣ

* * *

[Εἰς τὸ μικρὸν ἀπόδειπνον. Μετὰ τὸ Πιστεύω, ψάλλεται ἡ ἐκ τοῦ Μηναίου ἀκολουθία.]

Τῇ Τετάρτῃ ἑσπέρας, περὶ ὥραν δ΄ τῆς νυκτὸς σημαίνει. Καὶ συναχθέντες ἐν τῇ Ἐκκλησίᾳ, εὐλογήσαντος τοῦ Ἱερέως, μετὰ τὸν Ἑξάψαλμον, ψάλλομεν τό, Ἀλληλούϊα, καὶ τὰ Τριαδικά, τὰ κατὰ τὸν τυχόντα Ἦχον τῆς Ἑβδομάδος. Εἶτα στιχολογοῦμεν τὸ ἐνδιάτακτον Κάθισμα τοῦ Ψαλτηρίου, καὶ μετὰ τὴν Στιχολογίαν λέγομεν τὰ Καθίσματα Ἀποστολικὰ καὶ Θεοτοκίον, τὰ τοῦ αὐτοῦ Ἤχου, καὶ ἀναγινώσκομεν τὸν βίον τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας εἰς δόσεις δύο. Εἶτα, μετὰ τὸν Ν΄ Ψαλμόν, ἀρχόμεθα εὐθὺς ψάλλειν τὸν Κανόνα ἀργῶς καὶ ἐν κατανύξει, ποιοῦντες εἰς καθὲν Τροπάριον μετανοίας γ΄ καὶ λέγοντες· Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

* * * * *

## Ο ΟΡΘΡΟΣ

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν.

Ὁ ἱερεύς· Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον, ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

Ὁ ἀναγνώστης· Ἀμήν.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. (ἐκ γ΄)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν.

Κύριε, ἐλέησον (ιβ΄).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Καὶ τοὺς ἑξῆς Ψαλμοὺς (ὧν ἀναγινωσκομένων ὁ ἱερεὺς θυμιᾷ διὰ κατζίου).

### Ψαλμὸς ιθ΄ (19).

Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως· ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.

Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου.

Μνησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω.

Δῴη σοι Κύριος κατὰ τὴν καρδίαν σου, καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι.

Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου, καὶ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα.

Πληρώσαι Κύριος πάντα τὰ αἰτήματά σου· νῦν ἔγνων ὅτι ἔσωσε Κύριος τὸν χριστὸν αὐτοῦ.

Ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ· ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ.

Οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν ἵπποις· ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα.

Αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσον· ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν.

Κύριε, σῶσον τὸν βασιλέα, καὶ ἐπάκουσον ἡμῶν, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.

## Ψαλμὸς κ΄ (20).

Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.

Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ, καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν.

Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος· ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου.

Ζωὴν ᾐτήσατό σε καὶ ἔδωκας αὐτῷ, μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος.

Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου, δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ᾽ αὐτόν.

Ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος· εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου.

Ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον, καὶ ἐν τῷ ἐλέει τοῦ Ὑψίστου οὐ μὴ σαλευθῇ.

Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου· ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε.

Ὅτι θήσεις αὐτοὺς εἰς κλίβανον πυρός, εἰς καιρὸν τοῦ προσώπου σου.

Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτούς, καὶ καταφάγεται αὐτοὺς πῦρ.

Τὸν καρπὸν αὐτῶν ἀπὸ τῆς γῆς ἀπολεῖς, καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων.

Ὅτι ἔκλιναν εἰς σὲ κακά, διελογίσαντο βουλάς, αἷς οὐ μὴ δύνωνται στῆναι.

Ὅτι θήσεις αὐτοὺς νῶτον· ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν.

Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου· ᾄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Καὶ τὸ Τρισάγιον.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. (ἐκ γ΄)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν.

Καὶ τὰ τροπάρια·

Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι, κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Δόξα.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός· εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων. Τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης ἀήττητον τρόπαιον.

Καὶ νῦν. Θεοτοκίον.

Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε, μὴ παρίδῃς ἀγαθή, τὰς ἱκεσίας ἡμῶν, πανύμνητε Θεοτόκε· στήριξον ὀρθοδόξων πολιτείαν, σῷζε οὓς ἐκέλευσας βασιλεύειν, καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην· διότι ἔτεκες τὸν Θεόν, μόνη εὐλογημένη.

Ὁ ἱερεύς· Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ ἀναγνώστης· Κύριε, ἐλέησον γʹ.

Ὁ ἱερεύς· Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ὁ ἀναγνώστης· Κύριε, ἐλέησον γʹ.

Ὁ ἱερεύς· Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Ὁ ἀναγνώστης· Κύριε, ἐλέησον γʹ.

Ὁ ἱερεὺς ἐκφώνως· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν.

* * *

## Ο ΕΞΑΨΑΛΜΟΣ - ΑΙ ΕΥΧΑΙ

Ὁ ἀναγνώστης· Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Καὶ εὐθὺς ἐκφωνεῖ ὁ ἱερεύς·

Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν.

Καὶ ἀναγινώσκει ὁ προεστὼς (ἢ ὁ ἀναγνώστης) τὸν Ἑξάψαλμον.

Ὁ δὲ ἱερεὺς ἀναγινώσκει μυστικῶς τὰς εὐχὰς τοῦ Ὄρθρου ἐνώπιον τῆς ἁγίας Τραπέζης· μετὰ δὲ τὴν πρώτην τριάδα τῶν Ψαλμῶν ἐξελθὼν συνεχίζει τὴν ἀνάγνωσιν ἐνώπιον τῆς εἰκόνος τοῦ Κυρίου.

Ὁ ἀναγνώστης·

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. (τρίς)

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. (δίς)

### Ψαλμὸς γʹ (3).

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; Πολλοὶ ἐπανίστανται ἐπ᾽ ἐμέ.

Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.

Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ· δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.

Ἐγὼ δὲ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι.

Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου.

Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας.

Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

### Καί πάλιν.

Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

### Ψαλμὸς λζ΄ (37).

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ᾽ ἐμὲ τὴν χεῖρά σου.

Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου· οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.

Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ᾽ ἐμέ.

Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.

Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.

Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.

Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα· ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.

Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη.

Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ᾽ ἐμοῦ.

Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν.

Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου, καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.

Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ.

Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.

Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα, σὺ εἰσακούσῃ, Κύριε, ὁ Θεός μου.

Ὅτι εἶπον· Μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου, καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ᾽ ἐμὲ ἐμεγαλοῤῥημόνησαν.

Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μού ἐστι διαπαντός.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.

Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως.

Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.

Μὴ ἐγκαταλίπῃς με, Κύριε, ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ.

Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε, τῆς σωτηρίας μου.

### Καὶ πάλιν.

Μὴ ἐγκαταλίπῃς με, Κύριε, ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ.

Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

### Ψαλμὸς ξβ΄ (62).

Ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.

Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ.

Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.

Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς· τὰ χείλη μου ἐπαινέσουσί σε.

Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.

Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.

Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ.

Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.

Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δέ ἀντελάβετο ἡ δεξιά σου.

Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου· εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς· παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.

Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

Καὶ πάλιν.

Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ, ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.

Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου· ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

Δόξα. Καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι ὁ Θεὸς (τρίς). Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.

Δόξα. Καὶ νῦν.

## Ψαλμὸς πζ´ (87).

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.

Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ Ἅδῃ ἤγγισε.

Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον, ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος.

Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν.

Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.

Ἐπ᾿ ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ᾿ ἐμέ.

Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ᾿ ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς.

Παρεδόθην καὶ οὐκ ἐξεπορευόμην· οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας.

Ἐκέκραξα πρὸς σέ, Κύριε, ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.

Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι;

Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;

Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;

Κἀγὼ πρὸς σέ, Κύριε, ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε.

Ἵνα τί, Κύριε, ἀπωθῇ τὴν ψυχήν μου; ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ;

Πτωχός εἰμι ἐγώ, καὶ ἐν κόποις ἐκ νεότητός μου· ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην.

Ἐπ᾿ ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με.

Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ, ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα.

Ἐμάκρυνας ἀπ᾿ ἐμοῦ φίλον καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

Καὶ πάλιν.

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.

Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

## Ψαλμὸς ρβ´ (102).

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου.

Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.

Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.

Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.

Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῄ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.

Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.

Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ᾽ ἡμῶν τὰς ἀνομίας ἡμῶν.

Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν· ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν.

Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει.

Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.

Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος, ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.

Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ Ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ Δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν.

Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

## Ψαλμὸς ρμβ´ (142).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγώ δοῦλός σού εἰμι.

Καὶ πάλιν.

Εἰσάκουσόν μου, Κύριε, ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. (δίς)

Εἶτα·

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Δόξα. Καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός. (τρίς)

Καὶ μετὰ τὴν ἀνάγνωσιν τῶν εὐχῶν ὁ ἱερεὺς ἀσπασάμενος τὴν δεσποτικὴν εἰκόνα εἰσέρχεται διὰ τῆς νοτίου πύλης εἰς τὸ Ἱερόν.

* * *

## ΤΑ ΕΙΡΗΝΙΚΑ

Πληρωθέντος τοῦ Ἑξαψάλμου ὁ ἱερεὺς λέγει ἐνώπιον τῆς ἁγίας Τραπέζης τὰ Εἰρηνικά, τοῦ χοροῦ ψάλλοντος μεθ᾽ ἑκάστην δέησιν τὸ Κύριε, ἐλέησον.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ Κυρίου δεηθῶμεν.

[Ἐν ταῖς ἱεραῖς μοναῖς προστίθεται·
Ὑπὲρ τοῦ πατρὸς ἡμῶν (δεῖνος) ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος τοῦ Κυρίου δεηθῶμεν.]

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ καὶ τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως (ἢ τῆς ἁγίας μονῆς ἢ τῆς χώρας ἢ τῆς νήσου) ταύτης, πάσης (μονῆς) πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς ἐκφώνως·
Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

* * *

## ΑΛΛΗΛΟΥΪΑ

Καὶ ψάλλομεν τὸ Ἀλληλούϊα εἰς τὸν ἦχον τῆς ἑβδομάδος τετράκις ἀνὰ τρὶς μεθ᾽ ἕκαστον τῶν ἑπομένων στίχων· ἄρχεται δὲ ὁ α΄ χορός.

Ἦχος δ΄.

Ἀλληλούϊα. (ἐκ γ΄).

Στίχ. α΄. Μακάριοι, οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε· κατασκηνώσουσιν ἐν ταῖς αὐλαῖς σου. (Ψαλμ. ξδ΄ 5)

Ἀλληλούϊα. (ἐκ γ΄).

Στίχ. β΄. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται, καὶ τὸ σπέρμα αὐτῶν κληρονομήσει τὴν γῆν. (Ψαλμ. κδ΄ 13)

Ἀλληλούϊα. (ἐκ γ΄).

Στίχ. γ΄. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν. (Ψαλμ. ρλδ΄ 13)

Ἀλληλούϊα. (ἐκ γ΄).

## ΤΡΙΑΔΙΚΟΙ ΥΜΝΟΙ

Τὰ Τριαδικά. Ἦχος δ΄.

Τῶν νοερῶν σου λειτουργῶν, προσφέρειν οἱ θνητοὶ τὸν ὕμνον, τολμῶντες λέγομεν· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῶν Ἀποστόλων, καὶ σῶσον ἡμᾶς.

Δόξα.

Ὡς αἱ τάξεις νῦν τῶν Ἀγγέλων, ἐν οὐρανῷ, καὶ στάσεις φόβῳ ἀνθρώπων ἐπὶ τῆς γῆς, ἐπινίκιον ὕμνον προσφέρομέν σοι Ἀγαθέ· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, πρεσβείαις τοῦ ἱεράρχου, καὶ σῶσον ἡμᾶς.

Καὶ νῦν.

Τὸν ἄναρχόν σου Πατέρα, καὶ σὲ Χριστὲ ὁ Θεός, καὶ τὸ Πανάγιόν σου Πνεῦμα, Χερουβικῶς δοξολογεῖν τολμῶντες λέγομεν. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, διὰ τῆς Θεοτόκου, ἐλέησον ἡμᾶς.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·
Ὅτι σὸν τὸ κράτος...

* * *

## ΚΑΘΙΣΜΑΤΑ

[Μετὰ τὸ η΄ κάθισμα τοῦ ψαλτηρίου]

Καθίσματα Ἀποστολικά.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Φωστῆρας εἰς τὰ πέρατα, τοὺς Μαθητάς σου Χριστέ, ἀνέδειξας ἐκλάμποντας, ἐν τῷ κηρύγματι, ψυχὰς καταυγάζοντας, πλάνην τὴν τῶν εἰδώλων, δι᾽ αὐτῶν ἀμαυρώσας, δόγμασιν εὐσεβείας, καταλάμψας τὸν κόσμον. Αὐτῶν ταῖς ἱκεσίαις, σῶσον τὰς ψυχὰς ἡμῶν.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς Μωϋσῆς τὸν Ἰσραὴλ ἐκ δουλείας, διὰ θαλάσσης Ἐρυθρᾶς ὁδηγήσας, τῇ δεξιᾷ σου Δέσποτα βυθίσας Φαραώ· οὕτως ἐν τοῖς θαύμασιν, οἱ σοφοὶ Μαθηταί σου, τὴν θάλασσαν διέῤῥηξαν, τῆς πικρᾶς ἀθεΐας, καὶ τὸν λαὸν ὡδήγησαν πρὸς σέ, ἄναρχε Λόγε, καὶ μόνε φιλάνθρωπε.

Τὸ (εἰς τὴν ζ΄ ᾠδὴν) Μαρτυρικόν.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ταχὺ προκακατάλαβε.

Σταυρῷ ὁπλισάμενοι οἱ Ἀθλοφόροι σου, ἐνίκησαν τὰ μηχανήματα τοῦ ἀρχεκάκου ἐχθροῦ, Χριστὲ ὁ Θεὸς ἡμῶν· ἔλαμψαν ὡς φωστῆρες, τοὺς βροτοὺς ὁδηγοῦντες· διδοῦσι τὰς ἰάσεις, τοῖς ἐν πίστει αἰτοῦσιν. Αὐτῶν ταῖς ἱκεσίαις, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὸν Λόγον τοῦ Πατρός, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε, μόνη ἁγνή, μόνη εὐλογημένη· διὸ ἀπαύστως, σὲ ἀνυμνοῦντες μεγαλύνομεν.

* * *

Ὁ ἀναγνώστης τὸν Ν΄ Ψαλμόν.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Καὶ ἡ ἱκεσία ὑπὸ τοῦ ἱερέως·

Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν ὀρθοδόξων καὶ κατάπεμψον ἐφ᾽ ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων ἀποστόλων· τῶν ἁγίων, ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· τοῦ ἁγίου (τοῦ ναοῦ), τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου (τῆς ἡμέρας), καὶ πάντων σου τῶν ἁγίων· ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

Οἱ χοροὶ τὸ Κύριε, ἐλέησον τετράκις ἀνὰ γ΄.

Ὁ ἱερεὺς ἐκφώνως·

Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

* * *

[Ἡ στιχολογία τῶν θ΄ ᾠδῶν
(ΤΜΕ διατάξεις Τριῳδίου §46)]

## ΚΑΝΩΝ Ο ΜΕΓΑΣ

## ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΟΥ ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ

### Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ εἱρμός.

Βοηθὸς καὶ σκεπαστής, ἐγένετό μοι εἰς σωτηρίαν· οὗτός μου Θεός, καὶ δοξάσω αὐτόν· Θεὸς τοῦ Πατρός μου, καὶ ὑψώσω αὐτόν· ἐνδόξως γὰρ δεδόξασται. (δίς)

### Τροπάρια.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Πόθεν ἄρξομαι θρηνεῖν, τὰς τοῦ ἀθλίου μου βίου πράξεις; ποίαν ἀπαρχὴν ἐπιθήσω Χριστέ, τῇ νῦν θρηνῳδίᾳ; ἀλλ᾽ ὡς εὔσπλαγχνός μοι δός, παραπτωμάτων ἄφεσιν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Δεῦρο τάλαινα ψυχή, σὺν τῇ σαρκί σου τῷ πάντων Κτίστῃ, ἐξομολογοῦ· καὶ ἀπόσχου λοιπόν, τῆς πρὶν ἀλογίας, καὶ προσάγαγε Θεῷ, ἐν μετανοίᾳ δάκρυα.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὸν πρωτόπλαστον Ἀδάμ, τῇ παραβάσει παραζηλώσας, ἔγνων ἐμαυτόν, γυμνωθέντα Θεοῦ, καὶ τῆς ἀϊδίου, Βασιλείας καὶ τρυφῆς, διὰ τὰς ἁμαρτίας μου.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Οἴμοι τάλαινα ψυχή! τί ὡμοιώθης τῇ πρώτῃ Εὔᾳ; εἶδες γὰρ κακῶς, καὶ ἐτρώθης πικρῶς, καὶ ἥψω τοῦ ξύλου, καὶ ἐγεύσω προπετῶς, τῆς παραλόγου βρώσεως.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἀντὶ Εὔας αἰσθητῆς, ἡ νοητή μοι κατέστη Εὔα, ὁ ἐν τῇ σαρκί, ἐμπαθὴς λογισμός, δεικνὺς τὰ ἡδέα, καὶ γευόμενος ἀεί, τῆς πικρᾶς καταπόσεως.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐπαξίως τῆς Ἐδέμ, προεξεῤῥίφη ὡς μὴ φυλάξας, μίαν σου Σωτήρ, ἐντολὴν ὁ Ἀδάμ· ἐγὼ δὲ τί πάθω, ἀθετῶν διαπαντός, τὰ ζωηρά σου λόγια;

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὴν τοῦ Κάϊν ὑπελθών, μιαιφονίαν τῇ προαιρέσει, γέγονα φονεύς, συνειδότι ψυχῆς, ζωώσας τὴν σάρκα, καὶ στρατεύσας κατ᾽ αὐτῆς, ταῖς πονηραῖς μου πράξεσι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τῇ τοῦ Ἄβελ Ἰησοῦ, οὐχ ὡμοιώθην δικαιοσύνῃ· δῶρά σοι δεκτά, οὐ προσῆξα ποτέ, οὐ πράξεις ἐνθέους, οὐ θυσίαν καθαράν, οὐ βίον ἀνεπίληπτον.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὡς ὁ Κάϊν καὶ ἡμεῖς, ψυχὴ ἀθλία τῷ πάντων Κτίστῃ, πράξεις ῥυπαράς, καὶ θυσίαν ψεκτήν, καὶ ἄχρηστον βίον, προσηγάγομεν ὁμοῦ· διὸ καὶ κατεκρίθημεν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὸν πηλὸν ὁ κεραμεύς, ζωοπλαστήσας ἐνέθηκάς μοι, σάρκα καὶ ὀστᾶ, καὶ πνοὴν καὶ ζωήν. Ἀλλ᾽ ὦ Ποιητά μου, Λυτρωτά μου καὶ Κριτά, μετανοοῦντα δέξαι με.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐξαγγέλλω σοι Σωτήρ, τὰς ἁμαρτίας, ἃς εἰργασάμην, καὶ τὰς τῆς ψυχῆς, καὶ τοῦ σώματός μου πληγάς, ἅς μοι ἔνδον, μιαιφόνοι λογισμοί, λῃστρικῶς ἐναπέθηκαν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Εἰ καὶ ἥμαρτον Σωτήρ, ἀλλ᾽ οἶδα ὅτι φιλάνθρωπος εἶ· πλήττεις συμπαθῶς, καὶ σπλαγχνίζῃ θερμῶς· δακρύοντα βλέπεις, καὶ προστρέχεις ὡς Πατήρ, ἀνακαλῶν τὸν Ἄσωτον.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐῤῥιμμένον με Σωτήρ, πρὸ τῶν πυλῶν σου, κἂν ἐν τῷ γήρει, μή με ἀποῤῥίψῃς, εἰς Ἅδου κενόν· ἀλλὰ πρὸ τοῦ τέλους, ὡς φιλάνθρωπός μοι δός, παραπτωμάτων ἄφεσιν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὁ λῃσταῖς περιπεσών, ἐγὼ ὑπάρχω τοῖς λογισμοῖς μου· ὅλως ὑπ᾽ αὐτῶν τετραυμάτισμαι νῦν· ἐπλήσθην μωλώπων. Ἀλλ᾽ αὐτός μοι ἐπιστάς, Χριστὲ Σωτὴρ ἰάτρευσον.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἱερεύς με προϊδών, ἀντιπαρῆλθε, καὶ ὁ Λευΐτης, βλέπων ἐν δεινοῖς, ὑπερεῖδε γυμνόν. Ἀλλ᾽ ὁ ἐκ Μαρίας, ἀνατείλας Ἰησοῦς, σὺ ἐπιστάς με οἴκτειρον.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὁ Ἀμνὸς ὁ τοῦ Θεοῦ, ὁ αἴρων πάντων τὰς ἁμαρτίας, ἆρον τὸν κλοιόν, ἀπ᾽ ἐμοῦ τὸν βαρύν, τὸν τῆς ἁμαρτίας, καὶ ὡς εὔσπλαγχνός μοι δός, παραπτωμάτων ἄφεσιν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Μετανοίας ὁ καιρός, προσέρχομαί σοι τῷ Πλαστουργῷ μου· Ἆρον τὸν κλοιόν, ἀπ᾽ ἐμοῦ τὸν βαρύν, τὸν τῆς ἁμαρτίας, καὶ ὡς εὔσπλαγχνός μοι δός, παραπτωμάτων ἄφεσιν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Μὴ βδελύξῃ με Σωτήρ, μὴ ἀποῤῥίψῃς τοῦ σοῦ προσώπου, ἆρον τὸν κλοιόν, ἀπ᾽ ἐμοῦ τὸν βαρύν, τὸν τῆς ἁμαρτίας, καὶ ὡς εὔσπλαγχνός μοι δός, παραπτωμάτων ἄφεσιν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὰ ἑκούσια Σωτήρ, καὶ τὰ ἀκούσια πταίσματά μου, καὶ τὰ φανερά, καὶ κρυπτὰ καὶ γνωστά, καὶ ἄγνωστα πάντα, συγχωρήσας ὡς Θεός, ἱλάσθητι, καὶ σῶσόν με.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐκ νεότητος Σωτήρ, τὰς ἐντολάς σου ἐπαρωσάμην, ὅλον ἐμπαθῶς, ἀμελῶν ῥαθυμῶν, παρῆλθον τὸν βίον· διὸ κράζω σοι Σωτήρ· κἂν ἐν τῷ τέλει, σῶσόν με.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὴν οὐσίαν τῆς ψυχῆς, καταναλώσας ταῖς ἀσωτίαις, ἔρημός εἰμι, ἀρετῶν εὐσεβῶν· λιμώττων δὲ κράζω· Ὁ Πατὴρ τῶν οἰκτιρμῶν, προφθάσας σύ με οἴκτειρον.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Σοὶ προσπίπτω Ἰησοῦ· Ἡμάρτηκά σοι, ἱλάσθητί μοι, ἆρον τὸν κλοιόν, ἀπ᾽ ἐμοῦ τὸν βαρύν, τὸν τῆς ἁμαρτίας, καὶ ὡς εὔσπλαγχνός μοι δός, δάκρυα κατανύξεως.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Μὴ εἰσέλθῃς μετ᾽ ἐμοῦ, ἐν κρίσει φέρων μου τὰ πρακτέα, λόγους ἐκζητῶν, καὶ εὐθύνων ὁρμάς· ἀλλ᾽ ἐν οἰκτιρμοῖς σου, παρορῶν μου τὰ δεινά, σῶσόν με παντοδύναμε.

Ἕτερος Κανὼν τῆς Ὁσίας Μαρίας τῆς Αἰγυπτίας, εἰς τὸν αὐτὸν Ἦχον καὶ Εἱρμόν, οὗ ἡ Ἀκροστιχίς· Σὺ ἡ ὁσία Μαρία βοήθει.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σήν μοι δίδου φωταυγῆ, ἐκ θείας ἄνωθεν προμηθείας, χάριν ἐκφυγεῖν, τῶν παθῶν σκοτασμόν, καὶ ᾆσαι προθύμως, τοῦ σοῦ βίου τὰ τερπνά, Μαρία κατορθώματα.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑποκύψασα Χριστοῦ, τοῖς θείοις νόμοις τούτῳ προσῆλθες, τὰς τῶν ἡδονῶν ἀκαθέκτους ὁρμάς, λιποῦσα καὶ πᾶσαν, ἀρετὴν πανευλαβῶς, ὡς μίαν ἐκατώρθωσας.

Τροπάριον τοῦ Ἁγίου Ἀνδρέου Κρήτης.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱκεσίαις σου ἡμᾶς, Ἀνδρέα ῥῦσαι παθῶν ἀτίμων, καὶ τῆς Βασιλείας, νῦν Χριστοῦ κοινωνούς, τοὺς πίστει καὶ πόθῳ, ἀνυμνοῦντάς σε κλεινέ, ἀνάδειξον δεόμεθα.

Δόξα. Τριαδικόν.

Ὑπερούσιε Τριάς, ἡ ἐν Μονάδι προσκυνουμένη, ἆρον τὸν κλοιόν, ἀπ᾽ ἐμοῦ τὸν βαρύν, τὸν τῆς ἁμαρτίας· καὶ ὡς εὔσπλαγχνός μοι δός, δάκρυα κατανύξεως.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε ἡ ἐλπίς, καὶ προστασία τῶν σὲ ὑμνούντων, ἆρον τὸν κλοιόν, ἀπ᾽ ἐμοῦ τὸν βαρύν, τὸν τῆς ἁμαρτίας· καὶ ὡς Δέσποινα ἁγνή, μετανοοῦντα δέξαι με.

Ὠδὴ β´. Ἦχος πλ. β´. Ὁ εἱρμός.

Πρόσεχε, οὐρανὲ καὶ λαλήσω, καὶ ἀνυμνήσω Χριστόν, τὸν ἐκ Παρθένου σαρκὶ ἐπιδημήσαντα.

Τροπάρια.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Πρόσεχε, οὐρανὲ καὶ λαλήσω· γῆ ἐνωτίζου φωνῆς, μετανοούσης Θεῷ, καὶ ἀνυμνούσης αὐτόν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Πρόσχες μοι, ὁ Θεὸς ὡς οἰκτίρμων, ἱλέῳ ὄμματί σου, καὶ δέξαι μου, τὴν θερμὴν ἐξομολόγησιν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἡμάρτηκα, ὑπὲρ πάντας ἀνθρώπους, μόνος ἡμάρτηκά σοι· ἀλλ᾽ οἴκτειρον ὡς Θεός, Σωτὴρ τὸ ποίημά σου.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ζάλη με, τῶν κακῶν περιέχει, εὔσπλαγχνε Κύριε· ἀλλ᾽ ὡς τῷ Πέτρῳ κἀμοί, τὴν χεῖρα ἔκτεινον.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὰ δάκρυα, τὰ τῆς Πόρνης Οἰκτίρμον, κἀγὼ προβάλλομαι· Ἱλάσθητί μοι Σωτήρ, τῇ εὐσπλαγχνίᾳ σου.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἠμαύρωσα, τῆς ψυχῆς τὸ ὡραῖον, ταῖς τῶν παθῶν ἡδοναῖς, καὶ ὅλως ὅλον τὸν νοῦν, χοῦν ἀπετέλεσα.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Διέῤῥηξα, νῦν τὴν στολήν μου τὴν πρώτην, ἣν ἐξυφάνατό μοι, ὁ Πλαστουργὸς ἐξ ἀρχῆς, καὶ ἔνθεν κεῖμαι γυμνός.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐνδέδυμαι, διεῤῥηγμένον χιτῶνα, ὃν ἐξυφάνατό μοι, ὁ ὄφις τῇ συμβουλῇ, καὶ καταισχύνομαι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Προσέβλεψα, τοῦ φυτοῦ τὸ ὡραῖον, καὶ ἠπατήθην τὸν νοῦν, καὶ ἔνθεν κεῖμαι γυμνός, καὶ καταισχύνομαι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐτέκταινον, ἐπὶ τὸν νῶτόν μου πάντες, οἱ ἀρχηγοὶ τῶν κακῶν, μακρύνοντες κατ᾽ ἐμοῦ, τὴν ἀνομίαν αὐτῶν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἀπώλεσα, τὸ πρωτόκτιστον κάλλος, καὶ τὴν εὐπρέπειάν μου, καὶ ἄρτι κεῖμαι γυμνός, καὶ καταισχύνομαι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Κατέῤῥαψε, τοὺς δερματίνους χιτῶνας, ἡ ἁμαρτία κἀμοί, γυμνώσασά με τῆς πρίν, θεοϋφάντου στολῆς.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Περίκειμαι, τὸν στολισμὸν τῆς αἰσχύνης, καθάπερ φύλλα συκῆς, εἰς ἔλεγχον τῶν ἐμῶν, αὐτεξουσίων παθῶν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐστόλισμαι, κατεστιγμένον χιτῶνα, καὶ ᾑμαγμένον αἰσχρῶς, τῇ ῥύσει τῆς ἐμπαθοῦς, καὶ φιληδόνου ζωῆς.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐσπίλωσα, τὸν τῆς σαρκός μου χιτῶνα, καὶ κατεῤῥύπωσα, τὸ κατ᾽ εἰκόνα Σωτήρ, καὶ καθ᾽ ὁμοίωσιν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὑπέπεσα, τῇ τῶν παθῶν ἀχθηδόνι, καὶ τῇ ἐνύλῳ φθορᾷ· καὶ ἔνθεν νῦν ὁ ἐχθρός, καταπιέζει με.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Φιλόϋλον, καὶ φιλοκτήμονα βίον, τῆς ἀκτησίας Σωτήρ, προκρίνας νῦν τὸν βαρύν, κλοιὸν περίκειμαι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐκόσμησα, τὸν τῆς σαρκὸς ἀνδριάντα, τῇ τῶν αἰσχρῶν λογισμῶν, ποικίλῃ περιβολῇ, καὶ κατακρίνομαι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τῆς ἔξωθεν, ἐπιμελῶς εὐκοσμίας, μόνης ἐφρόντισα, τῆς ἔνδον ὑπεριδών, θεοτυπώτου σκηνῆς.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Μορφώσας μου, τὴν τῶν παθῶν ἀμορφίαν, ταῖς φιληδόνοις ὁρμαῖς, ἐλυμηνάμην τοῦ νοῦ, τὴν ὡραιότητα.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Κατέχρωσα, τῆς πρὶν εἰκόνος τὸ κάλλος, Σῶτερ τοῖς πάθεσιν· ἀλλ᾽ ὡς ποτὲ τὴν δραχμήν, ἀναζητήσας εὑρέ.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἡμάρτηκα, ὥσπερ ἡ Πόρνη βοῶ σοι, μόνος ἡμάρτηκά σοι· ὡς μύρον δέχου Σωτήρ, κἀμοῦ τὰ δάκρυα.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὠλίσθησα, ὡς ὁ Δαυῒδ ἀκολάστως, καὶ βεβορβόρωμαι· ἀλλ᾽ ἀποπλύναις κἀμέ, Σωτὴρ τοῖς δάκρυσι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἱλάσθητι, ὡς ὁ Τελώνης βοῶ σοι, Σῶτερ ἱλάσθητί μοι· οὐδεὶς γὰρ τῶν ἐξ Ἀδάμ, ὡς ἐγὼ ἥμαρτέ σοι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Οὐ δάκρυα, οὐδὲ μετάνοιαν ἔχω, οὐδὲ κατάνυξιν· αὐτός μοι ταῦτα Σωτήρ, ὡς Θεὸς δώρησαι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὴν θύραν σου, μὴ ἀποκλείσῃς μοι τότε, Κύριε, Κύριε· ἀλλ᾽ ἄνοιξόν μοι αὐτήν, μετανοοῦντί σοι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Φιλάνθρωπε, ὁ πάντας θέλων σωθῆναι, σὺ ἀνακάλεσαί με, καὶ δέξαι ὡς ἀγαθός, μετανοοῦντά με.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐνώτισαι, τοὺς στεναγμοὺς τῆς ψυχῆς μου, καὶ τῶν ἐμῶν ὀφθαλμῶν, προσδέχου τοὺς σταλαγμούς· Σωτὴρ καὶ σῶσόν με.

Θεοτοκίον.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἄχραντε, Θεοτόκε Παρθένε, μόνη πανύμνητε, ἱκέτευε ἐκτενῶς, εἰς τὸ σωθῆναι ἡμᾶς.

Εἱρμὸς ἄλλος.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι Θεός, ὁ μάννα ἐπομβρήσας, καὶ τὸ ὕδωρ ἐκ πέτρας, πηγάσας πάλαι ἐν ἐρήμῳ τῷ λαῷ μου, τῇ μόνῃ δεξιᾷ καὶ τῇ ἰσχύϊ τῇ ἐμῇ.

Τροπάρια.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι Θεός· ἐνωτίζου ψυχή μου, τοῦ Κυρίου βοῶντος· καὶ ἀποσπάσθητι τῆς πρώτης ἁμαρτίας, καὶ φοβοῦ ὡς δικαστήν, καὶ ὡς κριτὴν καὶ Θεόν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τίνι ὡμοιώθης, πολυαμάρτητε ψυχή; εἰ μὴ τῷ πρώτῳ Κάϊν, καὶ τῷ Λάμεχ ἐκείνῳ, λιθοκτονήσασα τὸ σῶμα κακουργίαις, καὶ κτείνασα τὸν νοῦν, ταῖς παραλόγοις ὁρμαῖς.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Πάντας τοὺς πρὸ νόμου, παραδραμοῦσα ὦ ψυχή, τῷ Σὴθ οὐχ ὡμοιώθης, οὐ τὸν Ἐνὼς ἐμιμήσω, οὐ τὸν Ἐνὼχ τῇ μεταθέσει, οὐ τὸν Νῶε· ἀλλ᾽ ὤφθης πενιχρά, τῆς τῶν δικαίων ζωῆς.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Μόνη ἐξήνοιξας, τοὺς καταῤῥάκτας τῆς ὀργῆς, τοῦ Θεοῦ σου ψυχή μου, καὶ κατέκλυσας πᾶσαν, ὡς γῆν τὴν σάρκα, καὶ τὰς πράξεις, καὶ τὸν βίον· καὶ ἔμεινας ἐκτός, τῆς σωστικῆς Κιβωτοῦ.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἄνδρα ἀπέκτεινα, φησίν, εἰς μώλωπα ἐμοί, καὶ νεανίσκον εἰς τραῦμα, Λάμεχ θρηνῶν ἐβόα· σὺ δὲ οὐ τρέμεις ὦ ψυχή μου ῥυπωθεῖ-

σα, τὴν σάρκα καὶ τὸν νοῦν, κατασπιλώσασα-σα.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὢ πῶς ἐζήλωσα, Λάμεχ τὸν πρῴην φονευτήν, τὴν ψυχὴν ὥσπερ ἄνδρα, τὸν νοῦν ὡς νεανίσκον, ὡς ἀδελφὸν δέ μου τὸ σῶμα ἀποκτείνας, ὡς Κάϊν ὁ φονεύς, ταῖς φιληδόνοις ὁρμαῖς!

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Πύργον ἐσοφίσω, οἰκοδομῆσαι ὦ ψυχή, καὶ ὀχύρωμα πῆξαι, ταῖς σαῖς ἐπιθυμίαις, εἰ μὴ συνέχεεν ὁ Κτίστης τὰς βουλάς σου, καὶ κατέαξεν εἰς γῆν, τὰ μηχανήματά σου.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τέτρωμαι, πέπληγμαι· ἰδοὺ τὰ βέλη τοῦ ἐχθροῦ, τὰ καταστίξαντά μου, τὴν ψυχὴν καὶ τὸ σῶμα· ἰδοὺ τὰ τραύματα, τὰ ἕλκη, αἱ πηρώσεις, βοῶ σοι, αἱ πληγαί, τῶν αὐθαιρέτων μου παθῶν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἔβρεξε Κύριος, παρὰ Κυρίου πῦρ ποτέ, ἀνομίαν ὀργῶσαν, πυρπολήσας Σοδόμων· σὺ δὲ τὸ πῦρ ἐξέκαυσας τὸ τῆς γεέννης, ἐν ᾧ μέλλεις ψυχή, συγκατακαίεσθαι πικρῶς.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Γνῶτε καὶ ἴδετε, ὅτι ἐγώ εἰμι Θεός, ὁ ἐρευνῶν καρδίας, καὶ κολάζων ἐννοίας, ἐλέγχων πράξεις, καὶ φλογίζων ἁμαρτίας, καὶ κρίνων ὀρφανόν, καὶ ταπεινὸν καὶ πτωχόν.

Τῆς Ὁσίας Μαρίας τῆς Αἰγυπτίας.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἥπλωσας χεῖράς σου, πρὸς τὸν οἰκτίρμονα Θεόν, Μαρία ἐν ἀβύσσῳ, κακῶν βυθιζομένη· καὶ ὡς τῷ Πέτρῳ φιλανθρώπως χεῖρα βοηθείας, ἐξέτεινε τὴν σήν, ἐπιστροφὴν πάντως ζητῶν.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὅλῃ προθυμίᾳ, πόθῳ προσέδραμες Χριστῷ, τὴν πρὶν τῆς ἁμαρτίας, ὁδὸν ἀποστραφεῖσα, καὶ ἐν ἐρήμοις ταῖς ἀβάτοις τρεφομένη, καὶ τούτου καθαρῶς, τελοῦσα θείας ἐντολάς.

Τροπάριον τοῦ Ἁγίου Ἀνδρέου Κρήτης.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἴδωμεν ἴδωμεν, φιλανθρωπίαν ὦ ψυχή, τοῦ Θεοῦ καὶ Δεσπότου· διὰ τοῦτο πρὸ τέλους, αὐτῷ σὺν δάκρυσι, προσπέσωμεν βοῶντες· Ἀνδρέου ταῖς λιταῖς, Σῶτερ ἐλέησον ἡμᾶς.

Δόξα. Τριαδικόν.

Ἄναρχε ἄκτιστε, Τριὰς ἀμέριστε Μονάς, μετανοοῦντά με δέξαι, ἡμαρτηκότα σῶσον· σόν εἰμι πλάσμα, μὴ παρίδῃς, ἀλλὰ φεῖσαι καὶ ῥῦσαι, τοῦ πυρὸς τῆς καταδίκης με.

Καὶ νῦν. Θεοτοκίον.

Ἄχραντε Δέσποινα, Θεογεννῆτορ ἡ ἐλπίς, τῶν εἰς σὲ προστρεχόντων, καὶ λιμὴν τῶν ἐν ζάλῃ, τὸν ἐλεήμονα καὶ Κτίστην καὶ Υἱόν σου, ἱλέωσαι κἀμοί, ταῖς ἱκεσίαις ταῖς σαῖς.

ᾨδὴ γ΄. Ἦχος πλ. β΄. Ὁ εἱρμός.

Ἐπὶ τὴν ἀσάλευτον Χριστέ, πέτραν τῶν ἐντολῶν σου, τὴν Ἐκκλησίαν σου στερέωσον.

Τροπάρια.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Πῦρ παρὰ Κυρίου ψυχή, Κύριος ἐπιβρέξας, τὴν γῆν Σοδόμων πρὶν κατέφλεξεν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Εἰς τὸ ὄρος σώζου ψυχή, ὥσπερ ὁ Λὼτ ἐκεῖνος, καὶ εἰς Σηγὼρ προανασώθητι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Φεῦγε ἐμπρησμὸν ὦ ψυχή, φεῦγε Σοδόμων καῦσιν, φεῦγε φθορὰν θείας φλογώσεως.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐξομολογοῦμαί σοι Σωτήρ· Ἥμαρτον ἥμαρτόν σοι· ἀλλ᾽ ἄνες ἄφες μοι, ὡς εὔσπλαγχνος.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἥμαρτόν σοι μόνος ἐγώ, ἥμαρτον ὑπὲρ πάντας, Χριστὲ Σωτὴρ μὴ ὑπερίδῃς με.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Σὺ εἶ ὁ Ποιμὴν ὁ καλός· ζήτησόν με τὸν ἄρνα, καὶ πλανηθέντα μὴ παρίδῃς με.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Σὺ εἶ ὁ γλυκὺς Ἰησοῦς, σὺ εἶ ὁ Πλαστουργός μου· ἐν σοὶ Σωτὴρ δικαιωθήσομαι.

Τριαδικόν.

Ἁγία Τριάς, ὁ Θεός, ἐλέησον ἡμᾶς.

Ὢ Τριὰς Μονὰς ὁ Θεός, σῶσον ἡμᾶς ἐκ πλάνης, καὶ πειρασμῶν, καὶ περιστάσεων.

Θεοτοκίον.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χαῖρε θεοδόχε Γαστήρ· χαῖρε θρόνε Κυρίου· χαῖρε ἡ Μήτηρ τῆς ζωῆς ἡμῶν.

Εἱρμὸς ἄλλος.

Στερέωσον Κύριε, ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου, σαλευθεῖσαν τὴν καρδίαν μου· ὅτι μόνος, Ἅγιος ὑπάρχεις καὶ Κύριος. (δίς)

Τροπάρια.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Πηγὴν ζωῆς κέκτημαι, σὲ τοῦ θανάτου τὸν καθαιρέτην, καὶ βοῶ σοι ἐκ καρδίας μου, πρὸ τοῦ τέλους· Ἥμαρτον ἱλάσθητι σῶσόν με.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τοὺς ἐπὶ Νῶε Σωτήρ, ἠσελγηκότας ἐμιμησάμην, τὴν ἐκείνων κληρωσάμενος, καταδίκην, ἐν κατακλυσμῷ καταδύσεως.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἡμάρτηκα Κύριε, ἡμάρτηκά σοι, ἱλάσθητί μοι· οὐ γάρ ἐστιν ὅς τις ἥμαρτεν, ἐν ἀνθρώποις, ὃν οὐχ ὑπερέβην τοῖς πταίσμασι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὸν Χὰμ ἐκεῖνον ψυχή, τὸν πατραλοίαν μιμησαμένη, τὴν αἰσχύνην οὐκ ἐκάλυψας, τοῦ πλησίον, ὀπισθοφανῶς ἀνακάμψασα.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὴν εὐλογίαν τοῦ Σήμ, οὐκ ἐκληρώσω ψυχὴ ἀθλία· οὐ πλατεῖαν τὴν κατάσχεσιν, ὡς Ἰάφεθ, ἔσχες ἐν τῇ γῇ τῆς ἀφέσεως.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐκ γῆς Χαῤῥὰν ἔξελθε, τῆς ἁμαρτίας ψυχή μου δεῦρο, εἰς γῆν ῥέουσαν ἀείζωον, ἀφθαρσίαν, ἣν ὁ Ἀβραὰμ ἐκληρώσατο.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὸν Ἀβραὰμ ἤκουσας, πάλαι ψυχή μου καταλιπόντα, γῆν πατρῴαν, καὶ γενόμενον, μετανάστην, τούτου τὴν προαίρεσιν μίμησαι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐν τῇ δρυῒ τῇ Μαμβρῇ, φιλοξενήσας ὁ Πατριάρχης, τοὺς Ἀγγέλους ἐκληρώσατο, μετὰ γῆρας, τῆς ἐπαγγελίας τὸ θήραμα.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὸν Ἰσαὰκ τάλαινα, γνοῦσα ψυχή μου καινὴν θυσίαν, μυστικῶς ὁλοκαρπούμενον, τῷ Κυρίῳ, μίμησαι αὐτοῦ τὴν προαίρεσιν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὸν Ἰσμαὴλ ἤκουσας, νῆφε ψυχή μου ἐκδιωχθέντα, ὡς παιδίσκης ἀποκύημα· βλέπε μήπως, ὅμοιόν τι πάθῃς λαγνεύουσα.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τῇ Ἄγαρ πάλαι ψυχή, τῇ Αἰγυπτίᾳ παρωμοιώθης, δουλωθεῖσα τὴν προαίρεσιν, καὶ τεκοῦσα, νέον Ἰσμαήλ, τὴν αὐθάδειαν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὴν Ἰακὼβ κλίμακα, ἔγνως ψυχή μου δεικνυομένην· ἀπὸ γῆς πρὸς τὰ οὐράνια· τί μὴ ἔσχες, βάσιν ἀσφαλῆ, τὴν εὐσέβειαν;

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὸν Ἱερέα Θεοῦ, καὶ βασιλέα μεμονωμένον, τοῦ Χριστοῦ τὸ ἀφομοίωμα, τοῦ ἐν κόσμῳ, βίου ἐν ἀνθρώποις μιμήθητι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Μὴ γένῃ στήλη ἁλός, ψυχὴ στραφεῖσα εἰς τὰ ὀπίσω, τὸ ὑπόδειγμα φοβείτω σε, τῶν Σοδόμων· ἄνω εἰς Σηγὼρ διασώθητι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὸν ἐμπρησμὸν ὥσπερ Λώτ, φεῦγε ψυχή μου τῆς ἁμαρτίας· φεῦγε Σόδομα καὶ Γόμορῤῥα· φεῦγε φλόγα, πάσης παραλόγου ὀρέξεως.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐλέησον Κύριε, ἐλέησόν με ἀναβοῶ σοι, ὅτε ἥξεις μετ᾽ Ἀγγέλων σου, ἀποδοῦναι, πᾶσι κατ᾽ ἀξίαν τῶν πράξεων.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὴν δέησιν Δέσποτα, τῶν σὲ ὑμνούντων μὴ ἀποῤῥίψῃς· ἀλλ᾽ οἰκτείρησον φιλάνθρωπε, καὶ παράσχου, πίστει αἰτουμένοις τὴν ἄφεσιν.

Τῆς Ὁσίας Μαρίας τῆς Αἰγυπτίας.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Συνέχομαι κλύδωνι, καὶ τρικυμίᾳ Μῆτερ πταισμάτων· ἀλλ᾽ αὐτή με νῦν διάσωσον, καὶ πρὸς ὅρμον, θείας μετανοίας εἰσάγαγε.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱκέσιον δέησιν, νυνὶ Ὁσία προσαγαγοῦσα, πρὸς τὴν εὔσπλαγχνον πρεσβείᾳ σου, Θεοτόκον, ἄνοιξόν μοι θείας εἰσόδους σου.

Τροπάριον τοῦ Ἁγίου Ἀνδρέου Κρήτης.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ταῖς σαῖς λιταῖς δώρησαι, κἀμοὶ τὴν λύσιν τῶν ὀφλημάτων, ὦ Ἀνδρέα Κρήτης Πρόεδρε· μετανοίας, σὺ μυσταγωγὸς γὰρ πανάριστος.

Δόξα. Τριαδικόν.

Μονὰς ἁπλῆ ἄκτιστε, ἄναρχε φύσις ἡ ἐν Τριάδι, ὑμνουμένη ὑποστάσεων, ἡμᾶς σῶσον, πίστει προσκυνοῦντας τὸ κράτος σου.

Καὶ νῦν. Θεοτοκίον.

Τὸν ἐκ Πατρὸς ἄχρονον, Υἱὸν ἐν χρόνῳ Θεοκυῆτορ, ἀπειράνδρως ἀπεκύησας· ξένον θαῦμα, μείνασα Παρθένος θηλάζουσα.

Καὶ πάλιν τὸν Εἱρμόν·

Στερέωσον Κύριε, ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου, σαλευθεῖσαν τὴν καρδίαν μου· ὅτι μόνος, Ἅγιος ὑπάρχεις καὶ Κύριος.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·
Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...

* * *

## ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

Εἶτα τὸ παρὸν Κάθισμα. Ποίημα Ἰωσήφ.

Ἦχος πλ. δ΄. Ἀνέστης ἐκ νεκρῶν.

Φωστῆρες θεαυγεῖς, τοῦ Σωτῆρος αὐτόπται, φωτίσατε ἡμᾶς, τοὺς ἐν σκότει τοῦ βίου, ὅπως ὡς ἐν ἡμέρᾳ, νῦν εὐσχημόνως περιπατήσωμεν, φέγγει τῆς ἐγκρατείας, νυκτώδη πάθη ἀποδιώκοντες, καὶ τὰ λαμπρὰ κατίδωμεν Χριστοῦ, Παθήματα χαίροντες.

Ἕτερον. Ποίημα Θεοδώρου.

Δόξα. Ἦχος ὁ αὐτός. Τὸ προσταχθέν.

Τῶν Ἀποστόλων δωδεκὰς ἡ θεόλεκτος, ἱκετηρίαν τῷ Χριστῷ νῦν προσάγαγε, τὸ Νηστείας στάδιον πάντας διανύσαι, τελοῦντας ἐν κατανύξει τὰς προσευχάς, ποιοῦντας ἐν προθυμίᾳ τὰς ἀρετάς, ὅπως οὕτω προφθάσωμεν, ἰδεῖν Χριστοῦ τοῦ Θεοῦ τὴν ἔνδοξον Ἀνάστασιν, δόξαν αἶνον προσάγοντες.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὸν ἀπερίληπτον Θεοῦ Υἱὸν καὶ Λόγον, ἀνερμηνεύτως ὑπὲρ νοῦν ἐκ σοῦ τεχθέντα, Θεοτόκε ἱκέτευε σὺν τοῖς Ἀποστόλοις, εἰρήνην τῇ Οἰκουμένῃ εἰλικρινῆ, βραβεῦσαι, καὶ τῶν πταισμάτων δοῦναι ἡμῖν, πρὸ τοῦ τέλους συγχώρησιν, καὶ Βασιλείας Οὐρανῶν, δι᾽ ἄκραν ἀγαθότητα, ἀξιῶσαι τοὺς δούλους σου.

* * *

Μετὰ ταῦτα ψάλλομεν τὰ ἐφεξῆς τριῴδια ἄνευ μετανοιῶν, ἐν οἷς στιχολογοῦμεν καὶ τὴν δ΄ ᾠδήν.

Τριῴδιον. Ποίημα Ἰωσήφ.

Ὠδὴ δ΄. Ἦχος πλ. δ΄. Ὁ εἱρμός.

Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν θεότητα.

Τῶν Ἀποστόλων.

Ἀπόστολοι τοῦ Χριστοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἐγκρατείᾳ συζήσαντες, οἱ πεφωτισμένοι Χριστοῦ Ἀπόστολοι, ἐγκρατείας τὸν καιρὸν ἡμῖν, μεσιτείας θείαις εὐμαρίζουσι.

Ἀπόστολοι τοῦ Χριστοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Δωδεκάχορδον ὄργανον, μέλος ἐκελάδησε τὸ σωτήριον, Μαθητῶν χορὸς ὁ ἔνθεος, πονηρὰ συγχέων μελῳδήματα.

Ἀπόστολοι τοῦ Χριστοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἐπομβρίαις τοῦ Πνεύματος, πᾶσαν τὴν ὑφήλιον κατηρδεύσατε, τὸ αὐχμὸν ἀποδιώξαντες, τῆς πολυθεΐας Παμμακάριστοι.

Θεοτοκίον.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ταπεινώσασα σῶσόν με, τὸν ὑψηλοφρόνως πολιτευσάμενον, ἡ τεκοῦσα τὸν ὑψώσαντα, τὴν ταπεινωθεῖσαν φύσιν Πάναγνε.

Ἕτερον Τριῴδιον. Ποίημα Θεοδώρου.

Εἱρμὸς ἄλλος. Ἦχος ὁ αὐτός.

Εἰσακήκοα Κύριε, τὴν ἀκοήν σου καὶ ἐφοβήθην, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασα τὸ κράτος σου Δέσποτα.

Ἀπόστολοι τοῦ Χριστοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἀποστόλων ἡ πάνσεπτος, χοροστασία τῷ πάντων Κτίστῃ, δυσωποῦσα παρακλήθητι, ἐλεῆσαι ἡμᾶς τοὺς ἀνευφημοῦντάς σε.

Ἀπόστολοι τοῦ Χριστοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ὡς ἐργάται ὑπάρχοντες, Χριστοῦ Ἀπόστολοι πάντα κόσμον, θείῳ λόγῳ γεωργήσαντες, προσηγάγετε καρποὺς αὐτῷ πάντοτε.

Ἀπόστολοι τοῦ Χριστοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἀμπελὼν ἐγενήθητε, Χριστῷ τῷ ὄντως ἠγαπημένῳ· τὸν γὰρ οἶνον τὸν τοῦ Πνεύματος, ἐξεβλύσατε τῷ κόσμῳ Ἀπόστολοι.

Δόξα. Τριαδικόν.

Ὑπεράρχιε σύμμορφε, πανσθενεστάτη Τριὰς ἁγία, Πάτερ Λόγε Πνεῦμα ἅγιον, Θεὲ φῶς καὶ ζωή, φύλαττε τὴν ποίμνην σου.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε θρόνε πυρίμορφε· χαῖρε λυχνία λαμπαδηφόρε· χαῖρε ὄρος ἁγιάσματος· κιβωτὲ τῆς ζωῆς, Ἁγίων ἁγία σκηνή.

Τὰ τοῦ Μεγάλου Κανόνος.

Ὠδὴ δ΄. Ἦχος πλ. β΄. Ὁ εἱρμός.

Ἀκήκοεν ὁ Προφήτης, τὴν ἔλευσίν σου Κύριε, καὶ ἐφοβήθη, ὅτι μέλλεις ἐκ Παρθένου τίκτεσθαι, καὶ ἀνθρώποις δείκνυσθαι καὶ ἔλεγεν· Ἀκήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην· δόξα τῇ δυνάμει σου Κύριε. (δίς)

Τροπάρια.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὰ ἔργα σου μὴ παρίδῃς, τὸ πλάσμα σου μὴ παρόψῃ Δικαιοκρίτα· εἰ καὶ μόνος ἥμαρτον ὡς ἄνθρωπος, ὑπὲρ πάντα ἄνθρωπον Φιλάνθρωπε· ἀλλ᾽ ἔχεις, ὡς Κύριος πάντων τὴν ἐξουσίαν, ἀφιέναι ἁμαρτήματα.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐγγίζει ψυχὴ τὸ τέλος, ἐγγίζει καὶ οὐ φροντίζεις, οὐχ ἑτοιμάζῃ· ὁ καιρὸς συντέμνει, διανάστηθι· ἐγγὺς ἐπὶ θύραις ὁ Κριτής ἐστιν· ὡς ὄναρ, ὡς ἄνθος ὁ χρόνος τοῦ βίου τρέχει· τί μάτην ταραττόμεθα;

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἀνάνηψον ὦ ψυχή μου, τὰς πράξεις σου, ἃς εἰργάσω ἀναλογίζου, καὶ ταύτας ἐπ᾽ ὄψεσι προσάγαγε, καὶ σταγόνας στάλαξον δακρύων σου· εἰπὲ παῤῥησίᾳ τὰς πράξεις, τὰς ἐνθυμήσεις, Χριστῷ καὶ δικαιώθητι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Οὐ γέγονεν ἐν τῷ βίῳ, ἁμάρτημα οὐδὲ πρᾶξις οὐδὲ κακία, ἣν ἐγὼ Σωτὴρ οὐκ ἐπλημμέλησα, κατὰ νοῦν, καὶ λόγον καὶ προαίρεσιν, καὶ θέσει, καὶ γνώμῃ, καὶ πράξει ἐξαμαρτήσας, ὡς ἄλλος οὐδεὶς πώποτε.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐντεῦθεν καὶ κατεκρίθην, ἐντεῦθεν κατεδικάσθην ἐγὼ ὁ τάλας, ὑπὸ τῆς οἰκείας συνειδήσεως, ἧς οὐδὲν ἐν κόσμῳ βιαιότερον. Κριτὰ Λυτρωτά μου καὶ γνῶστα, φεῖσαι καὶ ῥῦσαι, καὶ σῶσόν με τὸν δοῦλόν σου.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἡ κλῖμαξ ἣν εἶδε πάλαι, ὁ μέγας ἐν Πατριάρχαις, δεῖγμα ψυχή μου, πρακτικῆς ὑπάρχει ἐπιβάσεως, γνωστικῆς τυγχάνει ἀναβάσεως· εἰ θέλεις οὖν πράξει, καὶ γνώσει καὶ θεωρίᾳ, βιοῦν, ἀνακαινίσθητι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὸν καύσωνα τῆς ἡμέρας, ὑπέμεινε δι᾽ ἔνδειαν ὁ Πατριάρχης, καὶ τὸν παγετὸν τῆς νυκτὸς ἤνεγκε, καθ᾽ ἡμέραν κλέμματα ποιούμενος, ποιμαίνων, πυκτεύων, δουλεύων, ἵνα τὰς δύω, γυναῖκας εἰσαγάγηται.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Γυναῖκάς μοι δύω νόει, τὴν πρᾶξίν τε καὶ τὴν γνῶσιν ἐν θεωρίᾳ· τὴν μὲν Λείαν πρᾶξιν ὡς πολύτεκνον· τὴν Ραχὴλ δέ, γνῶσιν ὡς πολύπονον· καὶ γὰρ ἄνευ πόνων, οὐ πρᾶξις οὐ θεωρία, ψυχὴ κατορθωθήσεται.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Γρηγόρησον ὦ ψυχή μου, ἀρίστευσον ὡς ὁ μέγας ἐν Πατριάρχαις, ἵνα κτήσῃ πρᾶξιν μετὰ γνώσεως, ἵνα χρηματίσῃς νοῦς ὁρῶν τὸν Θεόν, καὶ φθάσῃς τὸν ἄδυτον γνόφον ἐν θεωρίᾳ, καὶ γένῃ μεγαλέμπορος.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τοὺς δώδεκα Πατριάρχας, ὁ μέγας ἐν Πατριάρχαις παιδοποιήσας, μυστικῶς ἐστήριξέ σοι κλίμακα, πρακτικῆς ψυχή μου ἀναβάσεως, τοὺς παῖδας, ὡς βάθρα, τὰς βάσεις, ὡς ἀναβάσεις, πανσόφως ὑποθέμενος.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἠσαῦ τὸν μεμισημένον, ζηλοῦσα ψυχὴ ἀπέδου τῷ πτερνιστῇ σου, τὰ τοῦ πρώτου κάλλους πρωτοτόκια, καὶ τῆς πατρικῆς εὐχῆς ἐξέπεσας, καὶ δὶς ἐπτερνίσθης ἀθλία, πράξει καὶ γνώσει· διὸ νῦν μετανόησον.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐδὼμ ὁ Ἠσαῦ ἐκλήθη, δι᾽ ἄκραν θηλυμανίας ἐπιμιξίαν· ἀκρασίᾳ γὰρ ἀεὶ πυρούμενος, καὶ ταῖς ἡδοναῖς κατασπιλούμενος· Ἐδὼμ ὠνομάσθη, ὃ λέγεται θερμασία, ψυχῆς φιλαμαρτήμονος.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἰὼβ τὸν ἐπὶ κοπρίας, ἀκούσασα ὦ ψυχή μου δικαιωθέντα, τὴν αὐτοῦ ἀνδρείαν οὐκ ἐζήλωσας, τὸ στεῤῥὸν οὐκ ἔσχες τῆς προθέσεως, ἐν πᾶσιν, οἷς ἔγνως, οἷς οἶδας, οἷς ἐπειράσθης, ἀλλ᾽ ὤφθης ἀκαρτέρητος.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὁ πρότερον ἐπὶ θρόνου, γυμνὸς νῦν ἐπὶ κοπρίας καθηλκωμένος· ὁ πολὺς ἐν τέκνοις καὶ περίβλεπτος, ἄπαις ἀφερέοικος αἰφνίδιον· παλάτιον γὰρ τὴν κοπρίαν, καὶ μαργαρίτας, τὰ ἕλκη ἐλογίζετο.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Βασίλειον τὴν ἀξίαν, διάδημα καὶ πορφύραν ἠμφιεσμένος, πολυκτήμων ἄνθρωπος καὶ δίκαιος, πλούτῳ ἐπιβρίθων καὶ βοσκήμασιν, ἐξαίφνης τὸν πλοῦτον, τὴν δόξαν, τὴν βασιλείαν, πτωχεύσας ἀπεκείρατο.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Εἰ δίκαιος ἦν ἐκεῖνος, καὶ ἄμεμπτος παρὰ πάντας, καὶ οὐκ ἀπέδρα, τὰ τοῦ πλάνου ἔνεδρα καὶ σκάμματα, σὺ φιλαμαρτήμων οὖσα τάλαινα, ψυχὴ τί ποιήσεις, ἐάν τι τῶν ἀδοκήτων, συμβῇ ἐπενεχθῆναί σοι;

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὸ σῶμα κατεῤῥυπώθην, τὸ πνεῦμα κατεσπιλώθην, ὅλος ἡλκώθην· ἀλλ᾽ ὡς ἰατρὸς Χριστὲ ἀμφότερα, διὰ μετανοίας μοι θεράπευσον, ἀπόλουσον, κάθαρον, πλῦνον, δεῖξον χιόνος, Σωτήρ μου καθαρώτερον.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὸ Σῶμά σου καὶ τὸ Αἷμα, σταυρούμενος ὑπὲρ πάντων, ἔθηκας Λόγε· τὸ μὲν Σῶμα, ἵνα ἀναπλάσῃς με, τὸ δὲ Αἷμα, ἵνα ἀποπλύνῃς με· τὸ πνεῦμα παρέδωκας, ἵνα ἐμὲ προσάξῃς, Χριστὲ τῷ σῷ Γεννήτορι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Εἰργάσω τὴν σωτηρίαν, ἐν μέσῳ τῆς γῆς ὁ Κτίστης, ἵνα σωθῶμεν· ἑκουσίως ξύλῳ ἀνεσταύρωσαι, ἡ Ἐδὲμ κλεισθεῖσα ἀνεῴγνυτο· τὰ ἄνω, τὰ κάτω, ἡ κτίσις, τὰ ἔθνη πάντα, σωθέντα προσκυνοῦσί σε.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Γενέσθω μοι κολυμβήθρα, τὸ Αἷμα τὸ ἐκ πλευρᾶς σου, ἅμα καὶ πόμα, τὸ πηγάσαν ὕδωρ τῆς ἀφέσεως, ἵνα ἑκατέρωθεν καθαίρωμαι, χριόμενος, πίνων, ὡς χρῖσμα καὶ πόμα Λόγε, τὰ ζωηρά σου λόγια.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Γυμνός εἰμι τοῦ Νυμφῶνος, γυμνός εἰμι καὶ τοῦ γάμου, ἅμα καὶ δείπνου· ἡ λαμπὰς ἐσβέσθη ὡς ἀνέλαιος· ἡ παστὰς ἐκλείσθη μοι καθεύδοντι· τὸ δεῖπνον ἐβρώθη· ἐγὼ δὲ χεῖρας καὶ πόδας, δεθεὶς ἔξω ἀπέῤῥιμμαι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Κρατῆρα ἡ Ἐκκλησία, ἐκτήσατο τὴν Πλευράν σου τὴν ζωηφόρον, ἐξ ἧς ὁ διπλοῦς ἡμῖν ἐξέβλυσε, κρουνὸς τῆς ἀφέσεως καὶ γνώσεως, εἰς τύπον τῆς πάλαι, τῆς νέας, τῶν δύω ἅμα, Διαθηκῶν Σωτὴρ ἡμῶν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὁ χρόνος ὁ τῆς ζωῆς μου, ὀλίγος καὶ πλήρης πόνων καὶ πονηρίας· ἀλλ᾽ ἐν μετανοίᾳ με παράλαβε, καὶ ἐν ἐπιγνώσει ἀνακάλεσαι· μὴ γένωμαι κτῆμα, μὴ βρῶμα τοῦ ἀλλοτρίου· Σωτὴρ αὐτός με οἴκτειρον.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὑψήγορος νῦν ὑπάρχω, θρασὺς δὲ καὶ τὴν καρδίαν, εἰκῇ καὶ μάτην· μὴ τῷ Φαρισαίῳ συγκαταδικάσῃς με, μᾶλλον τοῦ Τελώνου τὴν ταπείνωσιν, παράσχου μοι μόνε Οἰκτίρμον, δικαιοκρίτα, καὶ τούτῳ συναρίθμησον.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐξήμαρτον ἐνυβρίσας, τὸ σκεῦος τὸ τῆς σαρκός μου, οἶδα Οἰκτίρμον· ἀλλ᾽ ἐν μετανοίᾳ με παράλαβε, καὶ ἐν ἐπιγνώσει ἀνακάλεσαι· μὴ γένωμαι κτῆμα, μὴ βρῶμα τοῦ ἀλλοτρίου· Σωτὴρ αὐτός με οἴκτειρον.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Αὐτείδωλον ἐγενόμην, τοῖς πάθεσι τὴν ψυχήν μου, βλάπτων Οἰκτίρμον· ἀλλ᾽ ἐν μετανοίᾳ με παράλαβε, καὶ ἐν ἐπιγνώσει ἀνακάλεσαι· μὴ γένωμαι κτῆμα, μὴ βρῶμα τοῦ ἀλλοτρίου· Σωτὴρ αὐτός με οἴκτειρον.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Οὐκ ἤκουσα τῆς φωνῆς σου, παρήκουσα τῆς γραφῆς σου, τοῦ Νομοθέτου· ἀλλ᾽ ἐν μετανοίᾳ με παράλαβε, καὶ ἐν ἐπιγνώσει ἀνακάλεσαι· μὴ γένωμαι κτῆμα, μὴ βρῶμα τοῦ ἀλλοτρίου· Σωτὴρ αὐτός με οἴκτειρον.

Τῆς Ὁσίας Μαρίας τῆς Αἰγυπτίας.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀσώματον πολιτείαν, ἐν σώματι μετελθοῦσα, χάριν Ὁσία, πρὸς Θεοῦ μεγίστην ὄντως εἴληφας, τῶν πιστῶς τιμώντων σε προΐστασο· διὸ δυσωποῦμεν· παντοίων πειρατηρίων, ἡμᾶς εὐχαῖς σου λύτρωσαι.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μεγάλων ἀτοπημάτων, εἰς βάθος κατενεχθεῖσα, οὐ κατεσχέθης· ἀλλ᾽ ἀνέδραμες λογισμῷ κρείττονι, πρὸς τὴν ἀκροτάτην διαπράξεως, σαφῶς ἀρετὴν παραδόξως, Ἀγγέλων φύσιν, Μαρία καταπλήξασα.

Τροπάριον τοῦ Ἁγίου Ἀνδρέου Κρήτης.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀνδρέα Πατέρων κλέος, εὐχαῖς σου μὴ ἐπιλάθῃ καθικετεύων, παρεστὼς Τριάδα τὴν ὑ-

πέρθεον, ὅπως λυτρωθῶμεν τῆς κολάσεως, οἱ πόθῳ προστάτην σε θεῖον, ἐπικαλοῦντες, τὸ Κρήτης ἐγκαλλώπισμα.

Δόξα. Τριαδικόν.

Ἀμέριστον τῇ οὐσίᾳ, ἀσύγχυτον τοῖς προσώποις θεολογῶ σε, τὴν Τριαδικὴν μίαν Θεότητα, ὡς ὁμοβασίλειον, καὶ σύνθρονον· βοῶ σοι τὸ Ἆσμα, τὸ μέγα, τὸ ἐν ὑψίστοις, τρισσῶς ὑμνολογούμενον.

Καὶ νῦν. Θεοτοκίον.

Καὶ τίκτεις, καὶ παρθενεύεις, καὶ μένεις δι᾽ ἀμφοτέρων, φύσει Παρθένος· ὁ τεχθεὶς καινίζει νόμους φύσεως, ἡ νηδὺς δὲ κύει μὴ λοχεύουσα. Θεὸς ὅπου θέλει, νικᾶται φύσεως τάξις· ποιεῖ γὰρ ὅσα βούλεται.

Ὠδὴ ε΄. Ἦχος πλ. β΄. Ὁ εἱρμός.

Ἐκ νυκτὸς ὀρθρίζοντα Φιλάνθρωπε, φώτισον δέομαι, καὶ ὁδήγησον κἀμέ, ἐν τοῖς προστάγμασί σου, καὶ δίδαξόν με Σωτήρ, ποιεῖν τὸ θέλημά σου. (δίς)

Τροπάρια.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐν νυκτὶ τὸν βίον μου διῆλθον ἀεί· σκότος γὰρ γέγονε, καὶ βαθεῖά μοι ἀχλύς, ἡ νὺξ τῆς ἁμαρτίας· ἀλλ᾽ ὡς ἡμέρας υἱόν, Σωτὴρ ἀνάδειξόν με.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὸν Ρουβὶμ μιμούμενος ὁ τάλας ἐγώ, ἔπραξα ἄθεσμον, καὶ παράνομον βουλήν, κατὰ Θεοῦ Ὑψίστου, μιάνας κοίτην ἐμήν, ὡς τοῦ πατρὸς ἐκεῖνος.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐξομολογοῦμαί σοι Χριστὲ Βασιλεῦ· Ἥμαρτον ἥμαρτον, ὡς οἱ πρὶν τοῦ Ἰωσήφ, ἀδελφοὶ πεπρακότες, τὸν τῆς ἁγνείας καρπόν, καὶ τὸν τῆς σωφροσύνης.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὑπὸ τῶν συγγόνων ἡ δικαία ψυχή, δέδοτο, πέπρατο, εἰς δουλείαν ὁ γλυκύς, εἰς τύπον τοῦ Κυρίου· αὐτὴ δὲ ὅλη ψυχή, ἐπράθης τοῖς κακοῖς σου.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἰωσὴφ τὸν δίκαιον, καὶ σώφρονα νοῦν, μίμησαι τάλαινα, καὶ ἀδόκιμε ψυχή, καὶ μὴ ἀκολασταίνου, ταῖς παραλόγοις ὁρμαῖς, ἀεὶ παρανομοῦσα.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Εἰ καὶ λάκκῳ ᾤκησε ποτὲ Ἰωσήφ, Δέσποτα Κύριε, ἀλλ᾽ εἰς τύπον τῆς Ταφῆς, καὶ τῆς Ἐγέρσεώς σου· ἐγὼ δὲ τί σοι ποτέ, τοιοῦτο προσενέγκω;

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τοῦ Μωσέως ἤκουσας τὴν θίβην ψυχή, ὕδασι κύμασι, φερομένην ποταμοῦ, ὡς ἐν θαλάμῳ πάλαι, φυγοῦσαν δρᾶμα πικρόν, βουλῆς Φαραωνίτου.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Εἰ τὰς μαίας ἤκουσας κτεινούσας ποτέ, ἄνηβον τάλαινα, τὴν ἀῤῥενωπὸν ψυχή, τῆς σωφροσύνης πρᾶξιν· νῦν ὡς ὁ μέγας Μωσῆς, τιθηνοῦ τὴν σοφίαν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὡς Μωσῆς ὁ μέγας τὸν Αἰγύπτιον νοῦν, πλήξασα τάλαινα, οὐκ ἀπέκτεινας ψυχή· καὶ πῶς οἰκήσεις λέγε, τὴν ἔρημον τῶν παθῶν, διὰ τῆς μετανοίας;

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὰς ἐρήμους ᾤκησεν ὁ μέγας Μωσῆς· δεῦρο δὴ μίμησαι, τὴν αὐτοῦ διαγωγήν, ἵνα καὶ τῆς ἐν βάτῳ, θεοφανείας ψυχή, ἐν θεωρίᾳ γένῃ.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὴν Μωσέως ῥάβδον εἰκονίζου ψυχή, πλήττουσαν θάλασσαν, καὶ πηγνύουσαν βυθόν, τύπῳ Σταυροῦ τοῦ θείου· δι᾽ οὗ δυνήσῃ καὶ σύ, μεγάλα ἐκτελέσαι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἀαρὼν προσέφερε τὸ πῦρ τῷ Θεῷ, ἄμωμον ἄδολον· ἀλλ᾽ Ὀφνεὶ καὶ Φινεές, ὡς σὺ ψυχὴ προσῆγον, ἀλλότριον τῷ Θεῷ, ῥερυπωμένον βίον.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὡς βαρὺς τῇ γνώμῃ Φαραὼ τῷ πικρῷ, γέγονα Δέσποτα, Ἰαννὴς καὶ Ἰαμβρής, τὴν ψυχὴν καὶ τὸ σῶμα, καὶ ὑποβρύχιος νοῦς· ἀλλὰ βοήθησόν μοι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τῷ πηλῷ συμπέφυρμαι ὁ τάλας τὸν νοῦν· πλῦνόν με Δέσποτα, τῷ λουτῆρι τῶν ἐμῶν, δακρύων δέομαί σου, τὴν τῆς σαρκός μου στολήν, λευκάνας ὡς χιόνα.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐὰν ἐρευνήσω μου τὰ ἔργα Σωτήρ, ἅπαντα ἄνθρωπον, ὑπερβάντα ἐμαυτόν, ὁρῶ ταῖς ἁμαρτίαις, ὅτι ἐν γνώσει φρενῶν, ἥμαρτον, οὐκ ἀγνοίᾳ.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Φεῖσαι φεῖσαι Κύριε, τοῦ πλάσματός σου· ἥμαρτον, ἄνες μοι, ὁ τῇ φύσει καθαρός, αὐτὸς ὑπάρχεις μόνος, καὶ ἄλλος πλήν σου οὐδείς, ὑπάρχει ἔξω ῥύπου.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Δι᾽ ἐμὲ Θεὸς ὢν ἐμορφώθης ἐμέ, ἔδειξας θαύματα, ἰασάμενος λεπρούς, καὶ παραλύτους σφίγξας, Αἱμόρρου στήσας Σωτήρ, ἀφῇ κρασπέδου ῥῦσιν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὴν Αἱμόῤῥουν μίμησαι ἀθλία ψυχή· πρόσδραμε κράτησον, τοῦ κρασπέδου τοῦ Χριστοῦ, ἵνα ῥυσθῇς μαστίγων, ἀκούσῃς δὲ παρ᾽ αὐτοῦ· Ἡ πίστις σου σέσωκέ σε.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὴν χαμαὶ συγκύπτουσαν μιμοῦ ὦ ψυχή· πρόσελθε πρόσπεσον, τοῖς ποσὶ τοῦ Ἰησοῦ, ἵνα σε ἀνορθώσῃ, καὶ βηματίσεις ὀρθῶς, τὰς τρίβους τοῦ Κυρίου.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Εἰ καὶ φρέαρ Δέσποτα ὑπάρχεις βαθύ, βλῦσόν μοι νάματα, ἐξ ἀχράντων σου φλεβῶν, ἵν᾽ ὡς ἡ Σαμαρεῖτις, μηκέτι πίνων διψῶ· ζωῆς γὰρ ῥεῖθρα βλύζεις.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Σιλωὰμ γενέσθω μοι τὰ δάκρυά μου, Δέσποτα Κύριε, ἵνα νίψωμαι κἀγώ, τὰς κόρας τῆς ψυχῆς μου, καὶ ἴδω σε νοερῶς, τὸ φῶς τὸ πρὸ αἰώνων.

Τῆς Ὁσίας Μαρίας τῆς Αἰγυπτίας.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀσυγκρίτῳ ἔρωτι πανόλβιε, Ξύλον ποθήσασα, προσκυνῆσαι τῆς ζωῆς, ἠξίωσαι τοῦ πόθου· ἀξίωσον οὖν κἀμέ, τυχεῖν τῆς ἄνω δόξης.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥεῖθρον Ἰορδάνειον περάσασα, εὗρες ἀνάπαυσιν, τὴν ἀνώδυνον σαρκός, ἡδονὴν ἐκφυγοῦσα· ἧς καὶ ἡμᾶς ἐξελοῦ, σαῖς προσευχαῖς Ὁσία.

Τροπάριον τοῦ Ἁγίου Ἀνδρέου Κρήτης.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς Ποιμένων ἄριστον Ἀνδρέα σοφέ, πρόκριτον ὄντα σε, πόθῳ δέομαι πολλῷ, καὶ φόβῳ σαῖς πρεσβείαις, τῆς σωτηρίας τυχεῖν, καὶ ζωῆς αἰωνίου.

Δόξα. Τριαδικόν.

Σὲ Τριὰς δοξάζομεν τὸν ἕνα Θεόν· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Πατήρ, ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, ἁπλῆ οὐσία Μονάς, ἀεὶ προσκυνουμένη.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ σοῦ ἠμφιάσατο τὸ φύραμά μου, ἄφθορε ἄνανδρε, Μητροπάρθενε, Θεός, ὁ κτίσας τοὺς αἰῶνας· καὶ ἥνωσεν ἑαυτῷ, τὴν τῶν ἀνθρώπων φύσιν.

Ὠδὴ στ΄. Ἦχος πλ. β΄. Ὁ εἱρμός.

Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου, πρὸς τὸν οἰκτίρμονα Θεόν, καὶ ἐπήκουσέ μου ἐξ Ἅδου κατωτάτου, καὶ ἀνήγαγεν ἐκ φθορᾶς τὴν ζωήν μου. (δίς)

Τροπάρια.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὰ δάκρυα, Σωτὴρ τῶν ὀμμάτων μου, καὶ τοὺς ἐκ βάθους στεναγμούς, καθαρῶς προ-

σφέρω, βοώσης τῆς καρδίας· Ὁ Θεὸς ἡμάρτηκά σοι, ἱλάσθητί μοι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐξένευσας, ψυχὴ τοῦ Κυρίου σου, ὥσπερ Δαθὰν καὶ Ἀβειρών· ἀλλὰ φεῖσαι κράξον, ἐξ ὅλης τῆς καρδίας, ἵνα μὴ τὸ χάσμα, τῆς γῆς σε συγκαλύψῃ.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὡς δάμαλις, ψυχὴ παροιστρήσασα, ἐξωμοιώθης τῷ Ἐφραίμ· ὡς δορκὰς ἐκ βρόχων, ἀνάσωσον τὸν βίον, πτερωθεῖσα πράξει, καὶ νῷ καὶ θεωρίᾳ.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἡ χεὶρ ἡμᾶς, Μωσέως πιστώσεται, ψυχὴ πῶς δύναται Θεός, λεπρωθέντα βίον, λευκάναι καὶ καθάραι· καὶ μὴ ἀπογνῷς σεαυτήν, κἂν ἐλεπρώθης.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὰ κύματα, Σωτὴρ τῶν πταισμάτων μου, ὡς ἐν θαλάσσῃ Ἐρυθρᾷ, ἐπαναστραφέντα, ἐκάλυψέ με ἄφνω, ὡς τοὺς Αἰγυπτίους, ποτὲ καὶ τοὺς τριστάτας.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἀγνώμονα, ψυχὴ τὴν προαίρεσιν, ἔσχες ὡς πρὶν ὁ Ἰσραήλ· τοῦ γὰρ θείου μάννα, προέκρινας ἀλόγως, τὴν φιλήδονον, τῶν παθῶν ἀδηφαγίαν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὰ ὕεια, κρέα καὶ τοὺς λέβητας, καὶ τὴν Αἰγύπτιον τροφήν, τῆς ἐπουρανίου, προέκρινας ψυχή μου, ὡς ὁ πρὶν ἀγνώμων, λαὸς ἐν τῇ ἐρήμῳ.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὰ φρέατα, ψυχὴ προετίμησας, τῶν Χαναναίων ἐννοιῶν, τῆς φλεβὸς τὴν πέτραν· ἐξ ἧς ὁ τῆς σοφίας, ποταμὸς προχέει, κρουνοὺς θεολογίας.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὡς ἔπληξε, Μωσῆς ὁ θεράπων σου, ῥάβδῳ τὴν πέτραν τυπικῶς, τὴν ζωοποιόν σου, Πλευρὰν προδιετύπου· ἐξ ἧς πάντες πόμα, ζωῆς Σωτὴρ ἀντλοῦμεν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐρεύνησον, ψυχὴ κατασκόπευσον, ὡς Ἰησοῦς ὁ τοῦ Ναυῆ, τῆς κληροδοσίας, τὴν γῆν ὁποία ἐστί, καὶ κατοίκησον, ἐν αὐτῇ δι᾽ εὐνομίας.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἀνάστηθι, καὶ καταπολέμησον, ὡς Ἰησοῦς τὸν Ἀμαλήκ, τῆς σαρκὸς τὰ πάθη, καὶ τοὺς Γαβαωνίτας, τοὺς ἀπατηλούς, λογισμοὺς ἀεὶ νικῶσα.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Διάβηθι, τοῦ χρόνου τὴν ῥέουσαν, φύσιν ὡς πρὶν ἡ Κιβωτός, καὶ τῆς γῆς ἐκείνης, γενοῦ ἐν κατασχέσει, τῆς ἐπαγγελίας, ψυχή· Θεὸς κελεύει.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὡς ἔσωσας, τὸν Πέτρον βοήσαντα, σῶσον προφθάσας με Σωτήρ, τοῦ θηρός με ῥῦσαι, ἐκτείνας σου τὴν χεῖρα, καὶ ἀνάγαγε, τοῦ βυθοῦ τῆς ἁμαρτίας.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Λιμένα σε, γινώσκω γαλήνιον, Δέσποτα Δέσποτα Χριστέ· ἀλλ᾽ ἐκ τῶν ἀδύτων, βυθῶν τῆς ἁμαρτίας, καὶ τῆς ἀπογνώσεώς με, προφθάσας ῥῦσαι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐγώ εἰμι, Σωτὴρ ἣν ἀπώλεσας, πάλαι βασίλειον δραχμήν· ἀλλ᾽ ἀνάψας λύχνον, τὸν Πρόδρομόν σου Λόγε, ἀναζήτησον, καὶ εὑρὲ τὴν σὴν εἰκόνα.

Τῆς Ὁσίας Μαρίας τῆς Αἰγυπτίας.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἵνα παθῶν, φλογμὸν κατασβέσειας, δακρύων ἔβλυζες ἀεί, ὀχετοὺς Μαρία, ψυχὴν πυρπολουμένη· ὧν τὴν χάριν νέμοις, κἀμοὶ τῷ σῷ οἰκέτῃ.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀπάθειαν, ἐκτήσω οὐράνιον, δι᾽ ἀκροτάτης ἐπὶ γῆς πολιτείας Μῆτερ· διὸ τοὺς σὲ ὑμνοῦντας, ἐκ παθῶν ῥυσθῆναι, προσλήψεως δυσώπει.

Τροπάριον τοῦ Ἁγίου Ἀνδρέου Κρήτης.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῆς Κρήτης σε, Ποιμένα καὶ πρόεδρον, καὶ Οἰκουμένης πρεσβευτήν, ἐγνωκὼς προστρέχω, Ἀνδρέα καὶ βοῶ σοι· Ἐξελοῦ με Πάτερ, βυθοῦ τῆς ἁμαρτίας.

Δόξα. Τριαδικόν.

Τριάς εἰμι, ἁπλῆ ἀδιαίρετος, διαιρετὴ προσωπικῶς, καὶ Μονὰς ὑπάρχω, τῇ φύσει ἡνωμένη· ὁ Πατήρ φησιν, ὁ Υἱός, καὶ θεῖον Πνεῦμα.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ μήτρα σου, Θεὸν ἡμῖν ἔτεκε, μεμορφωμένον καθ᾽ ἡμᾶς· ὃν ὡς Κτίστην πάντων, δυσώπει Θεοτόκε, ἵνα ταῖς πρεσβείαις, ταῖς σαῖς δικαιωθῶμεν.

Καὶ πάλιν τὸν Εἱρμόν.

Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου, πρὸς τὸν οἰκτίρμονα Θεόν, καὶ ἐπήκουσέ μου ἐξ Ἅδου κατωτάτου, καὶ ἀνήγαγεν ἐκ φθορᾶς τὴν ζωήν μου.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·
Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

* * *

## ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

Κοντάκιον αὐτόμελον. Ἦχος πλ. β´.

Ψυχή μου ψυχή μου, ἀνάστα, τί καθεύδεις; τὸ τέλος ἐγγίζει, καὶ μέλλεις θορυβεῖσθαι· ἀνάνηψον οὖν, ἵνα φείσηταί σου Χριστὸς ὁ Θεός, ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν.

Ὁ Οἶκος.

Τὸ τοῦ Χριστοῦ ἰατρεῖον βλέπων ἀνεῳγμένον, καὶ τὴν ἐκ τούτου τῷ Ἀδὰμ πηγάζουσαν ὑγείαν, ἔπαθεν, ἐπλήγη ὁ Διάβολος, καὶ ὡς κινδυνεύων ὠδύρετο, καὶ τοῖς αὐτοῦ φίλοις ἀνεβόησε· Τί ποιήσω τῷ Υἱῷ τῆς Μαρίας; κτείνει με ὁ Βηθλεεμίτης, ὁ πανταχοῦ παρών, καί τὰ πάντα πληρῶν.

Συναξάριον. (Τοῦ Μηναίου).

Τῇ ΙΑ´ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Ἀντίπα, ἐπισκόπου Περγάμου. (†92)

Στίχ. Ταύρῳ παλαίεις, καλλιμάρτυς Ἀντίπα,
Ὅς σε φλογίζειν, οὐ κερατίζειν ἔχει.

Χάλκεον ἑνδεκάτῃ βληθεὶς φλέγῃ, Ἀντίπα, εἰς βοῦν.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς Ὁσίας Τρυφαίνης τῆς ἐν Κυζίκῳ.

Στίχ. Χωρίζεται Τρύφαινα σαρκὸς πηλίνης,
Ἡ πηλὸν αὐτῆς τὰςτρυφὰς ἡγουμένη.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Φαρμουθίου τοῦ ἀναχωρητοῦ.

Στίχ. Ἐξῆλθε Φαρμούθιος ἐκ τῶν ἐνθάδε,
Φαρμουθὶ μηνί, δῆλον ὡς Ἀπριλίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Φιλίππου, ἐπισκόπου Γορτύνης. (†180)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου τοῦ Εὐεργετινοῦ. (†1054)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γεωργίου, κτίτορος τῆς μονῆς Χρυσοστόμου ἢ Χρυσοστομάτου ἐν Κουτσοβέντῃ Πενταδακτύλου τῆς Κύπρου, ἐν ἔτει ͵αϞ´ (1090) συσταθείσης.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Καλλινίκου τῆς μονῆς Τσερίνκα ἐν Ρουμανίᾳ. (†1868)

Στίχ. Καλλίνικος ἐν Τσερνίκᾳ μεγάλος ἐφάνη,
ἑπόμενος Ποιμένος τοῦ Γέροντος τοῖς τρίβοις.

Εἶτα τὸ παρόν. (Τοῦ Τριῳδίου).

Τῇ αὐτῇ ἡμέρᾳ, Πέμπτῃ τῆς πέμπτης Ἑβδομάδος τῶν Νηστειῶν, κατὰ τὴν ἀρχαίαν παράδοσιν, ψάλλομεν τὴν Ἀκολουθίαν τοῦ Μεγάλου καὶ κατανυκτικοῦ Κανόνος.

Στίχ. Τρόπους, Ἰησοῦ, κατανύξεως δίδου,
ᾌδουσι νυνὶ Κανόνα σοι τὸν Μέγαν.

Τοῦτον τὸν ὄντως μέγιστον τῶν Κανόνων ἁπάντων, ἀρίστως καὶ τεχνηέντως ἡρμόσατο, καὶ συνέγραψεν

ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Ἀνδρέας, ὁ Ἀρχιεπίσκοπος Κρήτης ὁ καὶ Ἱεροσολυμίτης ὀνομαζόμενος. Ὅς ὥρμητο μὲν ἐκ Δαμασκοῦ· ἐπὶ τεσσαρεσκαιδεκάτῳ δὲ ἔτει τῆς αὐτοῦ ἡλικίας, παιδευτηρίῳ γραμματικῆς ἐκδοθείς, καὶ τὴν ἐγκύκλιον παίδευσιν ἐξασκήσας, εἰς Ἱεροσόλυμα γεγονώς, τὸν μοναστὴν ὑπέρχεται βίον. Ὁσίως δὲ καὶ θεοφιλῶς διάγων, ἐν ἡσύχῳ καὶ ἀταράχῳ τῇ βιοτῇ, πολλὰ μὲν καὶ ἄλλα συγγράμματα βιωφελῆ καταλείπει τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ, λόγους τε καὶ Κανόνας, μᾶλλον ἁδρότερος ἐν τοῖς Πανηγυρικοῖς γινόμενός τε, καὶ δεικνύμενος. Σὺν πολλοῖς δὲ ἄλλοις καὶ τὸν παρόντα Μέγαν Κανόνα συνέταξε, κατάνυξιν ἄπειρον ἔχοντα· πᾶσαν γὰρ Παλαιᾶς καὶ Νέας Διαθήκης ἱστορίαν ἐρανισάμενος, καὶ ἀθροίσας, τὸ παρὸν ἡρμόσατο μέλος, ἀπὸ Ἀδάμ, δηλαδή, μέχρι καὶ αὐτῆς τῆς Χριστοῦ Ἀναλήψεως, καὶ τοῦ τῶν Ἀποστόλων κηρύγματος. Προτρέπεται γοῦν διὰ τούτου πᾶσαν ψυχήν, ὅσα μὲν ἀγαθὰ τῆς ἱστορίας ζηλοῦν καὶ μιμεῖσθαι πρὸς δύναμιν, ὅσα δὲ τῶν φαύλων ἀποφεύγειν, καὶ ἀεὶ πρὸς Θεὸν ἀνατρέχειν, διά μετανοίας, διὰ δακρύων καὶ ἐξομολογήσεως, καὶ τῆς ἄλλης δηλονότι εὐαρεστήσεως. Πλὴν εἰς τοσοῦτον ἐστὶν εὔρους, καὶ ἐμμελής, ὡς καὶ αὐτὴν τὴν σκληροτέραν ψυχὴν ἱκανὸς μαλάξαι, καὶ πρὸς ἀνάληψιν ἀγαθοῦ διεγεῖραι, εἰ μόνον μετὰ συντετριμμένης καρδίας, καὶ προσοχῆς ἀνηκούσης ψάλλοιτο. Ἐποίησε δὲ τοῦτον, ὅτε καὶ ὁ Πατριάρχης Ἱεροσολύμων, ὁ μέγας Σωφρόνιος, τὸν τῆς Αἰγυπτίας Μαρίας βίον συνεγράψατο· κατάνυξιν γὰρ καὶ οὗτος ὁ βίος προβέβληται ἄπειρον, καὶ πολλὴν τοῖς ἐπταικόσι καὶ ἁμαρτάνουσι παραμυθίαν δίδωσιν, εἰ μόνον τῶν φαύλων ἀποστῆναι βούλοιντο.

Ἐτάχθησαν δὲ καὶ κατὰ τὴν παροῦσαν ἡμέραν ψάλλεσθαι, καὶ ἀναγινώσκεσθαι δι᾽ αἰτίαν τοιαύτην· Ἐπειδὴ γὰρ πρὸς τό τέλος ἐγγίζει ἡ ἁγία Τεσσαρακοστή, ἵνα μὴ οἱ ἄνθρωποι ῥάθυμοι γεγονότες, πρὸς τοὺς πνευματικοὺς ἀγῶνας ἀμελέστερον διατεθῶσι, καὶ τοῦ σωφρονεῖν καθάπαξ ἐν πᾶσιν ἀπόσχοιντο, ὁ μὲν μέγιστος Ἀνδρέας, οἷά τις ἀλείπτης, διὰ τῶν ἱστοριῶν τοῦ Μεγάλου Κανόνος, τῶν μεγάλων ἀνδρῶν λέγων τὴν ἀρετήν, καὶ τῶν φαύλων αὖθις τὴν ἐκτροπήν, ὡς ἄν τις φαίη, γενναιοτέρους τοὺς κάμνοντας παρασκευάζει, καὶ ἀνδρικῶς τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι. Ὁ δὲ ἱερὸς Σωφρόνιος, διὰ τοῦ ὑπερφυοῦς αὐτοῦ Λόγου, σώφρονας καὶ αὖθις εἶναι ποιεῖ, καὶ πρὸς Θεὸν διεγείρει, καὶ μὴ καταπίπτειν, μηδὲ ἀπογινώσκειν, εἰ καὶ τέως τισὶν ἑάλωσαν παραπτώμασιν. Ὅση γὰρ ἡ τοῦ Θεοῦ φιλανθρωπία καὶ συμπάθεια τοῖς ὁλοψύχως ἐκ τῶν πρῴην πταισμάτων ἐπιστρέφειν αἱρουμένοις, ἡ κατὰ τὴν Αἰγυπτίαν διήγησις παριστᾷ. Λέγεται δὲ Μέγας Κανών, ἴσως ἄν τις εἴπῃ, καὶ κατ᾽ αὐτὰς τὰς ἐννοίας, καὶ τὰ ἐνθυμήματα· γόνιμος γάρ ἐστιν ὁ τούτου ποιητής, ἀρίστως αὐτὰ συντιθέμενος· καὶ ὅτι τῶν λοιπῶν Κανόνων, ἀνὰ τριάκοντα, καὶ μικρόν τι πρός, Τροπαρίων ἐχόντων, οὗτος εἰς διακόσια καὶ πεντήκοντα πρόεισιν, ἑνὸς ἑκάστου ἄρρητον ἀποστάζοντος ἡδονήν. Ἁρμοδίως οὖν ἄρα καὶ προσηκόντως ὁ Μέγας οὗτος Κανών, καὶ μεγάλην κεκτημένος κατάνυξιν, κἂν τῇ μεγάλῃ τῶν Τεσσαρακοστῶν κατατέτακται. Τοῦτον τὸν ἄριστον Κανόνα καὶ μέγιστον, καὶ τὸν τῆς ὁσίας Μαρίας Λόγον, ὁ αὐτὸς Πατὴρ ἡμῶν Ἀνδρέας, πρῶτος εἰς τὴν Κωνσταντίνου κεκόμικεν, ὅτε πρὸς τοῦ Πατριάρχου Ἱεροσολύμων Θεοδώρου τῇ ἕκτῃ Συνόδῳ σταλείς, εἰς βοήθειαν παρεγένετο· τότε γὰρ ἀρίστως κατὰ τῶν Μονοθελητῶν ἀγωνισάμενος, ἔτι διατελῶν ἐν μονάζουσι, τῷ τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας Κλήρῳ συγκαταλέγεται· εἶτα Διάκονος, καὶ ὀρφανοτρόφος ἐν ταύτῃ καθίσταται, καὶ μετὰ μικρόν, Ἀρχιεπίσκοπος Κρήτης γενόμενος, ἐσύστερον ἄγχιστά που, πρὸς τῇ λεγομένῃ Ἱερισσῷ καταντήσας ἐν Μυτιλήνῃ πρὸς Κύριον ἐκδημεῖ, ἀρκούντως τοῦ ἰδίου θρόνου ἐν μεθέξει γενόμενος.

Ταῖς τοῦ ἁγίου Ἀνδρέου πρεσβείαις, ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

* * *

## ΜΑΚΑΡΙΣΜΟΙ

Εἶτα ψάλλομεν τοὺς Μακαρισμοὺς καὶ τὰ Τροπάρια, ὡς ἕπεται, μετὰ τῶν μετανοιῶν ἀνὰ ἑκάστῳ.

Ἦχος πλ. β΄.

Ἐν τῇ Βασιλείᾳ σου μνήσθητι ἡμῶν,
Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Λῃστὴν τοῦ Παραδείσου Χριστὲ πολίτην, ἐπὶ Σταυροῦ σοι βοήσαντα, τὸ Μνήσθητί μου προαπειργάσω· αὐτοῦ τῆς μετανοίας ἀξίωσον κἀμὲ τὸν ἀνάξιον.

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι,
ὅτι αὐτῶν ἐστιν ἡ Βασιλεία τῶν Οὐρανῶν.

Τὸν Μανωὲ ἀκούεις πάλαι ψυχή μου, Θεοῦ ἐν φαντασίᾳ γενόμενον, καὶ τὸν ἐκ στείρας τότε λαβόντα, καρπὸν ἐπαγγελίας· αὐτοῦ τὸ εὐσεβὲς μιμησώμεθα.

Μακάριοι οἱ πενθοῦντες,
ὅτι αὐτοὶ παρακληθήσονται.

Τὴν τοῦ Σαμψὼν ζηλώσασα ῥαθυμίαν, τὴν δόξαν ἀπεκείρω τῶν ἔργων σου, ψυχὴ προδοῦσα τοῖς ἀλλοφύλοις, διὰ φιληδονίας, τὴν σώφρονα ζωὴν καὶ μακάριον.

Μακάριοι οἱ πραεῖς,
ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

Ὁ πρὶν ἐν σιαγόνι ὄνου νικήσας, τοὺς ἀλλοφύλους νῦν παρανάλωμα, τῆς ἐμπαθοῦς λαγνείας εὑρέθη· ἀλλ᾽ ἔκφυγε ψυχή μου, τὴν μίμησιν, τὴν πρᾶξιν, τὴν χαύνωσιν.

Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες
τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

Βαρὰκ καὶ Ἰεφθάε οἱ στρατιάρχαι, κριταὶ τοῦ Ἰσραὴλ προεκρίθησαν, μεθ᾽ ὧν Δεβὄῤῥα ἡ ἀῤῥενόφρων· αὐτῶν ταῖς ἀριστείαις, ψυχὴ ἀῤῥενωθεῖσα κρατύνθητι.

Μακάριοι οἱ ἐλεήμονες,
ὅτι αὐτοὶ ἐλεηθήσονται.

Τὴν Ἰαὴλ ἀνδρείαν ἔγνως ψυχή μου, τὴν τὸν Σισάρα πρὶν σκολοπίσασαν, καὶ σωτηρίαν ἐργασαμένην, τὸν πάσσαλον ἀκούεις, δι᾽ οὗ σοι ὁ Σταυρὸς εἰκονίζεται.

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ,
ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

Θῦσον ψυχὴ θυσίαν ἐπαινουμένην, πρᾶξιν ὡς θυγατέρα προσάγαγε, τῆς Ἰεφθάε καθαρωτέραν, καὶ σφάξον ὥσπερ θῦμα, τὰ πάθη τῆς σαρκὸς τῷ Κυρίῳ σου.

Μακάριοι οἱ εἰρηνοποιοί,
ὅτι αὐτοὶ Υἱοὶ Θεοῦ κληθήσονται.

Τοῦ Γεδεὼν τὸν πόκον νόει ψυχή μου, ἐξ οὐρανοῦ τὴν δρόσον ὑπόδεξαι, καὶ κῦψον ὥσπερ κύων καὶ πίε, τὸ νᾶμα τὸ ἐκ νόμου, ῥυὲν τῇ ἀποθλίψει τοῦ γράμματος.

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης,
ὅτι αὐτῶν ἐστιν ἡ Βασιλεία τῶν Οὐρανῶν.

Ἠλεὶ τοῦ Ἱερέως τὴν καταδίκην, ψυχή μου ἐπεσπάσω δι᾽ ἔνδειαν, φρενῶν ἀνασχομένη τὰ πάθη, ἐν σοὶ ὥσπερ ἐκεῖνος, τὰ τέκνα ἐνεργεῖν τὰ παράνομα.

Μακάριοι ἐστέ, ὅταν ὀνειδίσωσιν ὑμᾶς,
καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα,
καθ᾽ ὑμῶν ψευδόμενοι, ἕνεκεν ἐμοῦ.

Ἐν τοῖς κριταῖς Λευΐτης δι᾽ ἐμμελείας, τὴν ἑαυτοῦ γυναῖκα ταῖς δώδεκα, φυλαῖς διεῖλε ψυχή μου, ἵνα τὸ μῖσος θριαμβεύσῃ, τὸ ἐκ Βενιαμὶν τὸ παράνομον.

Χαίρετε καὶ ἀγαλλιᾶσθε,
ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

Ἡ φιλοσώφρων Ἄννα προσευχομένη, τὰ χείλη μὲν ἐκίνει πρὸς αἴνεσιν, φωνὴ δὲ ταύτης οὐκ ἐξηχεῖτο· ἀλλ᾽ ὅμως στεῖρα οὖσα, Υἱὸν τῆς προσευχῆς τίκτει ἄξιον.

Μνήσθητι ἡμῶν, Κύριε,
ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Ἐν τοῖς κριταῖς ὁ Ἄννης ἐκρίθη γόνος, ὁ μέγας Σαμουήλ, ὃν ἐθρέψατο, ἡ Ἀρμαθὲμ ἐν οἴκῳ Κυρίου· αὐτὸν ζήλου ψυχή μου, καὶ κρῖναι πρὸς τῶν ἄλλων τὰ ἔργα σου.

Μνήσθητι ἡμῶν, Δέσποτα,
ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Δαυῒδ εἰς Βασιλέα ἐκλελεγμένος, βασιλικῶς ἐχρίσθη τῷ κέρατι, τοῦ θείου μύρου· σὺ οὖν ψυχή μου, τὴν ἄνω Βασιλείαν εἰ θέλεις, μύρῳ χρίσαι τοῖς δάκρυσιν.

Μνήσθητι ἡμῶν, Ἅγιε,
ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Ἐλέησον τὸ πλάσμα σου Ἐλεῆμον, οἴκτειρον τῶν χειρῶν σου τὸ ποίημα, καὶ φεῖσαι πάντων ἡμαρτηκότων, κἀμοῦ τοῦ ὑπὲρ πάντας, τοῖς σοῖς ὑπεριδόντος προστάγμασι.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἀνάρχῳ καὶ γεννήσει τε καὶ προόδῳ, Πατέρα προσκυνῶ τὸν γεννήσαντα, Υἱὸν δοξάζω τὸν γεννηθέντα, ὑμνῶ τὸ συνεκλάμπον, Πατρί τε, καὶ Υἱῷ, Πνεῦμα Ἅγιον.

Καὶ νῦν. Θεοτοκίον.

Τὸν ὑπὲρ φύσιν Τόκον σου προσκυνοῦμεν, τὴν κατὰ φύσιν δόξαν τοῦ βρέφους σου, μὴ διαιροῦντες Θεογεννῆτορ· ὁ εἷς γὰρ τῷ προσώπῳ, διττὸς ὁμολογεῖται ταῖς φύσεσιν.

* * *

Εἶθ᾽ οὕτω τὰς λοιπὰς ᾠδὰς τοῦ Κανόνος.

Ὠδὴ ζ΄. Ἦχος πλ. β΄. Ὁ εἱρμός.

Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν ἐνώπιόν σου, οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιή-

σαμεν, καθὼς ἐνετείλω ἡμῖν. Ἀλλὰ μὴ παραδῴης ἡμᾶς εἰς τέλος, ὁ τῶν Πατέρων Θεός. (δίς)

Τροπάρια.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἡμάρτηκα, ἐπλημμέλησα, καὶ ἠθέτησα τὴν ἐντολήν σου· ὅτι ἐν ἁμαρτίαις προήχθην, καὶ προσέθηκα τοῖς μώλωψι τραῦμα ἐμοί. Ἀλλ᾽ αὐτός με ἐλέησον ὡς εὔσπλαγχνος, ὁ τῶν Πατέρων Θεός.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὰ κρύφια τῆς καρδίας μου, ἐξηγόρευσά σοι τῷ Κριτῇ μου· ἴδε μου τὴν ταπείνωσιν, ἴδε καὶ τὴν θλῖψίν μου, καὶ πρόσχες τῇ κρίσει μου νῦν· καὶ αὐτός με ἐλέησον ὡς εὔσπλαγχνος, ὁ τῶν Πατέρων Θεός.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Σαοὺλ ποτὲ ὡς ἀπώλεσε, τοῦ πατρὸς αὐτοῦ ψυχὴ τὰς ὄνους, πάρεργον τὸ βασίλειον εὗρε πρὸς ἀνάῤῥησιν. Ἀλλ᾽ ὅρα μὴ λάθῃς σαυτήν, τὰς κτηνώδεις ὀρέξεις σου, προκρίνουσα, τῆς Βασιλείας Χριστοῦ.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Δαυΐδ ποτε ὁ πατρόθεος, εἰ καὶ ἥμαρτε διττῶς ψυχή μου, βέλει μὲν τοξευθεὶς τῆς μοιχείας, τῷ δὲ δόρατι ἁλοὺς τῆς τοῦ φόνου ποινῆς. Ἀλλ᾽ αὐτὴ τὰ βαρύτερα τῶν ἔργων νοσεῖς, ταῖς κατὰ γνώμην ὁρμαῖς.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Συνῆψε μὲν ὁ Δαυΐδ ποτε, ἀνομήματι τὴν ἀνομίαν· φόνῳ γὰρ τὴν μοιχείαν ἐκίρνα, τὴν μετάνοιαν εὐθὺς παραδείξας διπλῆν. Ἀλλ᾽ αὐτὴ πονηρότερα εἰργάσω ψυχή, μὴ μεταγνοῦσα Θεῷ.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Δαυΐδ ποτε ἀνεστήλωσε, συγγραψάμενος ὡς ἐν εἰκόνι, ὕμνον, δι᾽ οὗ τὴν πρᾶξιν ἐλέγχει, ἣν εἰργάσατο κραυγάζων, Ἐλέησόν με· σοὶ γὰρ μόνῳ ἐξήμαρτον, τῷ πάντων Θεῷ· αὐτὸς καθάρισόν με.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἡ Κιβωτὸς ὡς ἐφέρετο, ἐπιδίφριος ὁ Ζᾶν ἐκεῖνος, ὅτε ἀνατραπέντος τοῦ μόσχου, μόνον ἥψατο, Θεοῦ ἐπειράθη ὀργῆς. Ἀλλ᾽ αὐτοῦ τὴν αὐθάδειαν, φυγοῦσα ψυχή, σέβου τὰ Θεῖα καλῶς.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἀκήκοας τοῦ Ἀβεσσαλώμ, πῶς τῆς φύσεως ἀντεξανέστη· ἔγνως τὰς ἐναγεῖς αὐτοῦ πράξεις, αἷς ἐξύβρισε, τὴν κοίτην Δαυΐδ τοῦ πατρός. Ἀλλ᾽ αὐτὴ ἐμιμήσω τὰς αὐτοῦ ἐμπαθεῖς, καὶ φιληδόνους ὁρμάς.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὑπέταξας τὸ ἀδούλωτον, σοῦ ἀξίωμα τῷ σώματί σου· ἄλλον γὰρ Ἀχιτόφελ εὑροῦσα, τὸν ἐχθρὸν ψυχή, συνῆλθες ταῖς τούτου βουλαῖς· ἀλλ᾽ αὐτὰς διεσκέδασεν αὐτὸς ὁ Χριστός, ἵνα σὺ πάντως σωθῇς.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὁ Σολομὼν ὁ θαυμάσιος, ὁ καὶ χάριτος σοφίας πλήρης, οὗτος τὸ πονηρὸν ἐναντίον, τοῦ Θεοῦ ποτε, ποιήσας ἀπέστη αὐτοῦ· ᾧ αὐτὴ τὸν ἐπάρατόν σου βίον, ψυχὴ προσαφωμοίωσας.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ταῖς ἡδοναῖς ἐξελκόμενος, τῶν παθῶν αὐτοῦ κατεῤῥυποῦτο, οἴμοι! ὁ ἐραστὴς τῆς σοφίας, ἐραστὴς πορνῶν γυναικῶν, καὶ ξένος Θεοῦ· ὃν αὐτὴ ἐμιμήσω, κατὰ νοῦν ὦ ψυχή, ἡδυπαθείαις αἰσχραῖς.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὸν Ροβοὰμ παρεζήλωσας, ἀλογήσαντα βουλῆς πατρῴας, ἅμα δὲ καὶ τὸν κάκιστον δοῦλον Ἱεροβοάμ, τὸν πρὶν ἀποστάτην ψυχή. Ἀλλὰ φεῦγε τὴν μίμησιν, καὶ κράζε Θεῷ· Ἥμαρτον, οἴκτειρόν με.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὸν Ἀχαὰβ παρεζήλωσας, τοῖς μιάσμασι ψυχή μου, οἴμοι! γέγονας σαρκικῶν μολυσμάτων, καταγώγιον, καὶ σκεῦος αἰσχρὸν τῶν παθῶν. Ἀλλ᾽ ἐκ βάθους σου στέναξον, καὶ λέγε Θεῷ, τὰς ἁμαρτίας σου.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐνέπρησεν Ἠλιού ποτε, δὶς πεντήκοντα τῆς Ἰεζάβελ, ὅτε τοὺς τῆς αἰσχύνης προφήτας, κατηνάλωσεν, εἰς ἔλεγχον τοῦ Ἀχαάβ. Ἀλλὰ φεῦγε τὴν μίμησιν τῶν δύω ψυχή, καὶ κραταιώθητι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐκλείσθη σοι, οὐρανὸς ψυχή, καὶ λιμὸς Θεοῦ κατέλαβέ σε, ὅτε τοῖς Ἠλιού, τοῦ Θεσβίτου, ὡς ὁ Ἀχαάβ, ἠπείθησας λόγοις ποτέ. Ἀλλὰ τὴν Σαραφθίαν μιμουμένη, θρέψον Προφήτου ψυχήν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τοῦ Μανασσῆ ἐπεσώρευσας, τὰ ἐγκλήματα τῇ προαιρέσει, στήσασα ὡς βδελύγματα πάθη, καὶ πληθύνουσα ψυχή, προσωχθίσματα· Ἀλλ᾽ αὐτοῦ τὴν μετάνοιαν, ζηλοῦσα θερμῶς, κτῆσαι κατάνυξιν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Προσπίπτω σοι, καὶ προσάγω σοι, ὥσπερ δάκρυα τὰ ῥήματά μου· Ἥμαρτον, ὡς ἥμαρτε Πόρνη, καὶ ἠνόμησα, ὡς ἄλλος οὐδεὶς ἐπὶ γῆς. Ἀλλ᾽ οἰκτείρησον Δέσποτα τὸ ποίημά σου, καὶ ἀνακάλεσαί με.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Κατέχρωσα τὴν εἰκόνα σου, καὶ παρέφθειρα τὴν ἐντολήν σου· ὅλον ἀπημαυρώθη τὸ κάλλος, καὶ τοῖς πάθεσιν ἐσβέσθη Σωτὴρ ἡ λαμπάς· Ἀλλ᾽ οἰκτείρας ἀπόδος μοι, ὡς ψάλλει Δαυΐδ, τὴν ἀγαλλίασιν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐπίστρεψον, μετανόησον, ἀνακάλυψον τὰ κεκρυμμένα· λέγε Θεῷ τῷ τὰ πάντα εἰδότι· Σὺ γινώσκεις μου τὰ κρύφια μόνε Σωτήρ· καὶ αὐτός με ἐλέησον, ὡς ψάλλει Δαυΐδ, κατὰ τὸ ἔλεός σου.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἐξέλιπον αἱ ἡμέραι μου, ὡς ἐνύπνιον ἐγειρομένου· ὅθεν ὡς Ἐζεκίας δακρύω, ἐπὶ κλίνης μου, προσθῆναί μοι χρόνους ζωῆς. Ἀλλὰ τίς Ἡσαΐας, παραστήσεταί σοι ψυχή, εἰ μὴ ὁ πάντων Θεός;

Τῆς Ὁσίας Μαρίας τῆς Αἰγυπτίας.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Βοήσασα πρὸς τὴν ἄχραντον, Θεομήτορα, πρὶν ἀπεκρούσω, λύσσαν παθῶν βιαίως ὀχλούντων, καὶ κατῄσχυνας, ἐχθρὸν τὸν πτερνίσαντα. Ἀλλὰ δὸς νῦν βοήθειαν ἐκ θλίψεως, κἀμοὶ τῷ δούλῳ σου.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὃν ἔστερξας, ὃν ἐπόθησας, Μῆτερ οὗτινος κατ᾽ ἴχνος ἧκες, οὗτος τὴν μετάνοιαν εὗρε, καὶ δεδώρηται, ὡς μόνος Θεὸς συμπαθής· ὃν ἀπαύστως ἱκέτευε, παθῶν λυτρωθῆναι ἡμᾶς, καὶ περιστάσεων.

Τροπάριον τοῦ Ἁγίου Ἀνδρέου Κρήτης.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῆς πίστεως ἐν τῇ πέτρᾳ με, ταῖς πρεσβείαις σου στήριξον Πάτερ, φόβῳ με τῷ ἐνθέῳ τειχίζων, καὶ μετάνοιαν, Ἀνδρέα παράσχου μοι νῦν, δυσωπῶ σε καὶ ῥῦσαί με, παγίδος ἐχθρῶν, τῶν ἐκζητούντων με.

Δόξα. Τριαδικόν.

Τριὰς ἁπλῆ, ἀδιαίρετε, ὁμοούσιε καὶ φύσις μία, φῶτα καὶ φῶς, καὶ ἅγια τρία, καὶ ἓν ἅγιον, ὑμνεῖται Θεὸς ἡ Τριάς. Ἀλλ᾽ ἀνύμνησον, δόξασον, ζωὴν καὶ ζωάς, ψυχὴ τὸν πάντων Θεόν.

Καὶ νῦν. Θεοτοκίον.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε Θεογεννῆτορ, ὅτι τῆς ἀχωρίστου Τριάδος, ἀπεκύησας τὸν ἕνα Υἱὸν καὶ Θεόν· καὶ αὐτὴ προανέῳξας ἡμῖν, τοῖς ἐν γῇ τὰ ἐπουράνια.

Τὰ Τριῴδια.

Ὠδὴ η´. Ἦχος πλ. δ´. Ὁ εἱρμός.

Τὸν ἄναρχον Βασιλέα τῆς δόξης, ὃν φρίττουσι στρατιαὶ τῶν Ἀγγέλων, ὑμνεῖτε ἱερεῖς, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἀπόστολοι τοῦ Χριστοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ὡς ἄνθρακες τοῦ πυρὸς τοῦ ἀΰλου, συμφλέξατε τὰ ὑλώδη μου πάθη, ἀνάπτοντές μοι νῦν, τὸν ἔρωτα τῆς θείας, Ἀπόστολοι ἀγάπης.

Ἀπόστολοι τοῦ Χριστοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Τὰς σάλπιγγας τὰς εὐήχους τοῦ Λόγου, τιμήσωμεν, δι᾽ ὧν πέπτωκε τείχη, ἀνίδρυτα ἐχθροῦ, καὶ τῆς θεογνωσίας, ἐδράσθησαν ἐπάλξεις.

Ἀπόστολοι τοῦ Χριστοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἰνδάλματα ἐμπαθῆ τῆς ψυχῆς μου, συντρίψατε οἱ ναούς τε καὶ στήλας, συντρίψαντες ἐχθροῦ, Ἀπόστολοι Κυρίου, ναοὶ ἡγιασμένοι.

Θεοτοκίον.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἐχώρησας τὸν ἀχώρητον φύσει, ἐβάστασας τὸν βαστάζοντα πάντα, ἐθήλασας Ἁγνή, τὸν τρέφοντα τὴν κτίσιν, Χριστὸν τὸν ζωοδότην.

Εἱρμός, καὶ Ἦχος ὁ αὐτός.

Ἀπόστολοι τοῦ Χριστοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Τοῦ Πνεύματος τῇ ἀρχιτεκτονίᾳ, δειμάμενοι πᾶσαν τὴν Ἐκκλησίαν, Ἀπόστολοι Χριστοῦ, ἐν ταύτῃ εὐλογεῖτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἀπόστολοι τοῦ Χριστοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Σαλπίσαντες σάλπιγξι τῶν δογμάτων, κατέστρεψαν οἱ Ἀπόστολοι πᾶσαν, πλάνην εἰδωλικήν, Χριστὸν ὑπερυψοῦντες, εἰς πάντας τοὺς αἰῶνας.

Ἀπόστολοι τοῦ Χριστοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἀπόστολοι ἡ καλὴ μετοικία, οἱ ἔφοροι κόσμου, καὶ τῶν οὐρανῶν πολῖται, τοὺς ὑμᾶς ἀεὶ ἀνευφημοῦντας, λυτρώσατε κινδύνων.

Δόξα. Τριαδικόν.

Τρισήλιε παμφαὴς Θεαρχία, ὁμόδοξε καὶ ὁμόθρονε φύσις, Πατὴρ ὁ παντουργός, Υἱὲ καὶ θεῖον Πνεῦμα, ὑμνῶ σε εἰς αἰῶνας.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς ἔντιμον καὶ ὑπέρτατον θρόνον, ὑμνήσωμεν τοῦ Θεοῦ τὴν Μητέρα, ἀπαύστως οἱ λαοί, τὴν μόνην μετὰ τόκον, Μητέρα καὶ Παρθένον.

Τὰ τοῦ Μεγάλου Κανόνος.

Ὠδὴ η΄. Ἦχος πλ. β΄. Ὁ εἱρμός.

Ὃν Στρατιαί, Οὐρανῶν δοξάζουσι, καὶ φρίττει τὰ Χερουβίμ, καὶ τὰ Σεραφίμ, πᾶσα πνοὴ καὶ κτίσις, ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἡμαρτηκότα, Σωτὴρ ἐλέησον, διέγειρόν μου τὸν νοῦν, πρὸς ἐπιστροφήν, δέξαι μετανοοῦντα, οἰκτείρησον βοῶντα· Ἥμαρτόν σοι μόνῳ, ἠνόμησα, ἐλέησόν με.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὁ διφρηλάτης, Ἠλίας ἅρματι, ταῖς ἀρεταῖς ἐπιβάς, ὡς εἰς οὐρανούς, ἤγετο ὑπεράνω, ποτὲ τῶν ἐπιγείων· τούτου οὖν ψυχή μου, τὴν ἄνοδον ἀναλογίζου.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τοῦ Ἰορδάνου, τὸ ῥεῖθρον πρότερον, τῇ μηλωτῇ Ἠλιού, δι᾽ Ἐλισσαιέ, ἔστη ἔνθα καὶ ἔνθα· αὐτὴ δὲ ὦ ψυχή μου, ταύτης οὐ μετέσχες, τῆς χάριτος δι᾽ ἀκρασίαν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὁ Ἐλισσαῖος, ποτὲ δεξάμενος, τὴν μηλωτὴν Ἠλιού, ἔλαβε διπλῆν, χάριν παρὰ Κυρίου· αὐτὴ δὲ ὦ ψυχή μου, ταύτης οὐ μετέσχες, τῆς χάριτος δι᾽ ἀκρασίαν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἡ Σωμανῖτις, ποτε τὸν δίκαιον, ἐξένισεν ὦ ψυχή, γνώμῃ ἀγαθῇ· σὺ δὲ οὐκ εἰσῳκίσω, οὐ

ξένον, οὐχ ὁδίτην· ὅθεν τοῦ Νυμφῶνος, ῥιφήσῃ ἔξω θρηνῳδοῦσα.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τοῦ Γιεζῆ, ἐμιμήσω τάλαινα, τὴν γνώμην τὴν ῥυπαράν, πάντοτε ψυχή· οὗ τὴν φιλαργυρίαν, ἀπώθου κἂν ἐν γήρει· φεῦγε τῆς γεέννης, τὸ πῦρ, ἐκστᾶσα τῶν κακῶν σου.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Σὺ τὸν Ὀζίαν, ψυχὴ ζηλώσασα, τὴν τούτου λέπραν ἐν σοί, ἔσχες ἐν διπλῷ· ἄτοπα γὰρ λογίζῃ, παράνομα δὲ πράττεις· ἄφες ἃ κατέχεις, καὶ πρόσδραμε τῇ μετανοίᾳ.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τοὺς Νινευΐτας, ψυχὴ ἀκήκοας, μετανοοῦντας Θεῷ, σάκκῳ καὶ σποδῷ· τούτους οὐκ ἐμιμήσω, ἀλλ᾽ ὤφθης σκαιοτέρα, πάντων τῶν πρὸ νόμου, καὶ μετὰ νόμον ἐπταικότων.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὸν ἐν τῷ λάκκῳ, βορβόρου ἤκουσας, Ἱερεμίαν ψυχή, πόλιν τὴν Σιών, θρήνοις καταβοῶντα, καὶ δάκρυα ζητοῦντα· μίμησαι τὸν τούτου, θρηνώδη βίον καὶ σωθήσῃ.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὁ Ἰωνᾶς, εἰς Θαρσεῖς ἀπέδραμε, προγνοὺς τὴν ἐπιστροφήν, τῶν Νινευϊτῶν· ἔγνω γὰρ ὡς προφήτης, Θεοῦ τὴν εὐσπλαγχνίαν· ὅθεν παρεζήλου, τὴν προφητείαν μὴ ψευσθῆναι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὸν Δανιήλ, ἐν τῷ λάκκῳ ἤκουσας, πῶς ἔφραξεν ὦ ψυχή, στόματα θηρῶν· ἔγνωκας πῶς οἱ Παῖδες, οἱ περὶ Ἀζαρίαν, ἔσβεσαν τῇ πίστει, καμίνου φλόγα καιομένης.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τῆς Παλαιᾶς, Διαθήκης ἅπαντας, παρήγαγόν σοι ψυχή, πρὸς ὑπογραμμόν· μίμησαι τῶν δικαίων, τὰς φιλοθέους πράξεις· ἔκφυγε δὲ πάλιν, τῶν πονηρῶν τὰς ἁμαρτίας.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Δικαιοκρίτα, Σωτὴρ ἐλέησον, καὶ ῥῦσαί με τοῦ πυρός, καὶ τῆς ἀπειλῆς, ἧς μέλλω ἐν τῇ κρίσει, δικαίως ὑποστῆναι· ἄνες μοι πρὸ τέλους, δι᾽ ἀρετῆς καὶ μετανοίας.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὡς ὁ Ληστής, ἐκβοῶ σοι τὸ Μνήσθητι· ὡς Πέτρος κλαίω πικρῶς· Ἄνες μοι Σωτήρ, κράζω ὡς ὁ Τελώνης· δακρύω ὡς ἡ Πόρνη· δέξαι μου τὸν θρῆνον, καθὼς ποτὲ τῆς Χαναναίας.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὴν σηπεδόνα, Σωτὴρ θεράπευσον, τῆς ταπεινῆς μου ψυχῆς, μόνε ἰατρέ· μάλαγμά μοι ἐπίθες, καὶ ἔλαιον καὶ οἶνον, ἔργα μετανοίας, κατάνυξιν μετὰ δακρύων.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὴν Χαναναίαν, κἀγὼ μιμούμενος, Ἐλέησόν με βοῶ, τῷ Υἱῷ Δαυΐδ· ἅπτομαι τοῦ κρασπέδου, ὡς ἡ Αἱμοῤῥοοῦσα· κλαίω ὡς ἡ Μάρθα, καὶ Μαρία ἐπὶ Λαζάρου.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὸ τῶν δακρύων, Σωτὴρ ἀλάβαστρον, ὡς μύρον κατακενῶν, ἐπὶ κεφαλῆς, κράζω σοι ὡς ἡ Πόρνη, τὸν ἔλεον ζητοῦσα· δέησιν προσάγω, καὶ ἄφεσιν αἰτῶ λαβεῖν με.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Εἰ καὶ μηδείς, ὡς ἐγώ σοι ἥμαρτεν, ἀλλ᾽ ὅμως δέξαι κἀμέ, εὔσπλαγχνε Σωτήρ, φόβῳ μετανοοῦντα, καὶ πόθῳ κεκραγότα· Ἥμαρτόν σοι μόνῳ, ἠνόμησα, ἐλέησόν με.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Φεῖσαι Σωτήρ, τοῦ ἰδίου πλάσματος, καὶ ζήτησον ὡς ποιμήν, τὸ ἀπολωλός, πρόβατον· πλανηθέντα, ἐξάρπασον τοῦ λύκου, ποίησόν με θρέμμα, ἐν τῇ νομῇ τῶν σῶν προβάτων.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὅταν Κριτής, καθίσῃς ὡς εὔσπλαγχνος, καὶ δείξῃς τὴν φοβεράν, δόξαν σου Χριστέ, ὢ ποῖος φόβος τότε! καμίνου καιομένης, πάντων δειλιώντων, τὸ ἄστεκτον τοῦ βήματός σου.

Τῆς Ὁσίας Μαρίας τῆς Αἰγυπτίας.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἡ τοῦ Φωτός, τοῦ ἀδύτου Μήτηρ σε, φωτίσασα σκοτασμοῦ, ἔλυσε παθῶν· ὅθεν εἰσδεδεγμένη, τοῦ Πνεύματος τὴν χάριν, φώτισον Μαρία, τοὺς σὲ πιστῶς ἀνευφημοῦντας.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Θαῦμα καινόν, κατιδὼν ἐξίστατο, ὁ θεῖος ὄντως ἐν σοί, Μῆτερ Ζωσιμᾶς· Ἄγγελον γὰρ ἑώρα, ἐν σώματι, καὶ θάμβους· ὅλος ἐπληροῦτο, Χριστὸν ὑμνῶν εἰς τοὺς αἰῶνας.

Τροπάριον τοῦ Ἁγίου Ἀνδρέου Κρήτης.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς παῤῥησίαν, ἔχων πρὸς Κύριον, Ἀνδρέα Κρήτης σεπτόν, κλέος δυσωπῶ, πρέσβευε τοῦ δεσμοῦ με, τῆς ἀνομίας λύσιν, νῦν εὑρεῖν εὐχαῖς σου, Διδάσκαλε, Ὁσίων δόξα.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν
καὶ Ἅγιον Πνεῦμα, τὸν Κύριον·
ὑμνοῦμεν καὶ ὑπερυψοῦμεν
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἄναρχε Πάτερ, Υἱὲ συνάναρχε, Παράκλητε ἀγαθέ, Πνεῦμα τὸ εὐθές, Λόγου Θεοῦ Γεννῆτορ, Πατρὸς ἀνάρχου Λόγε, Πνεῦμα ζῶν καὶ κτίζον, Τριὰς Μονὰς ἐλέησόν με.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς ἐκ βαφῆς, ἁλουργίδος Ἄχραντε, ἡ νοητὴ πορφυρίς, τοῦ Ἐμμανουήλ, ἔνδον ἐν τῇ γαστρί σου, ἡ σὰρξ συνεξυφάνθη· ὅθεν Θεοτόκον, ἐν ἀληθείᾳ σὲ τιμῶμεν.

Αἰνοῦμεν, εὐλογοῦμεν,
προσκυνοῦμεν τὸν Κύριον·
ὑμνοῦντες καὶ ὑπερυψοῦντες
αὐτὸν εἰς τοὺς αἰῶνας.

Καὶ πάλιν τὸν Εἱρμόν·

Ὃν Στρατιαί, Οὐρανῶν δοξάζουσι, καὶ φρίττει τὰ Χερουβίμ, καὶ τὰ Σεραφίμ, πᾶσα πνοὴ καὶ κτίσις, ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

* * *

Ὁ διάκονος· Τὴν Θεοτόκον ἐν ὕμνοις μεγαλύνομεν.

## Η ΩΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Στίχ. α΄. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ * καὶ ἐνδοξοτέραν * ἀσυγκρίτως τῶν Σεραφίμ, * τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, * τὴν ὄντως Θεοτόκον, * σὲ μεγαλύνομεν.

Στίχ. β΄. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. γ΄. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ· καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. δ΄. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. ε.΄ Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. ϛ΄. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

* * *

Εἶτα τὰ Τριῴδια.

Ὠδὴ θ΄. Ἦχος πλ. δ΄. Ὁ εἱρμός.

Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν, οἱ διὰ σοῦ σεσωσμένοι Παρθένε ἁγνή, σὺν Ἀσωμάτων χορείαις, σὲ μεγαλύνοντες.

Τῶν Ἀποστόλων.

Ἀπόστολοι τοῦ Χριστοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Πηγαὶ τοῦ σωτηρίου, νάματος δειχθέντες, τὴν ἐκτακεῖσαν ψυχήν μου, Ἀπόστολοι, τῆς ἁμαρτίας τῇ δίψῃ, καταδροσίσατε.

Ἀπόστολοι τοῦ Χριστοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Νηχόμενον πελάγει, τῷ τῆς ἀπωλείας, καὶ ὑποβρύχιον ἤδη γενόμενον, σῇ δεξιᾷ, ὡς τὸν Πέτρον, Κύριε σῶσόν με.

Ἀπόστολοι τοῦ Χριστοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ὡς ἅλας τῶν νοστίμων, ὄντες διδαγμάτων, τὴν σηπεδόνα νοός μου ξηράνατε, καὶ τῆς ἀγνοίας τὸ σκότος, ἀποδιώξατε.

Θεοτοκίον.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χαρὰν ὡς τετοκυῖα, πένθος μοι παράσχου, δι᾽ οὗ τὴν θείαν παράκλησιν Δέσποινα, ἐν τῇ μελλούσῃ ἡμέρᾳ εὑρεῖν δυνήσομαι.

Εἱρμὸς ἄλλος. Ἦχος ὁ αὐτός.

Σὲ τὴν οὐρανοῦ καὶ γῆς μεσῖτιν, πᾶσαι γενεαὶ μεγαλύνομεν· σωματικῶς γὰρ ἐσκήνωσεν ἐν σοί, τὸ πλήρωμα Παρθένε τῆς Θεότητος.

Ἀπόστολοι τοῦ Χριστοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Σὲ τὸ εὐκλεὲς τῶν Ἀποστόλων, σύστημα ᾠδαῖς μεγαλύνομεν· τῆς Οἰκουμένης φωστῆρες γὰρ φαιδροί, ἐδείχθητε τὴν πλάνην ἐκδιώκοντες.

Ἀπόστολοι τοῦ Χριστοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Εὐαγγελικῇ ὑμῶν σαγήνῃ, λογικοὺς ἰχθύας ἀγρεύοντες, αὐτοὺς προσφέρετε πάντοτε Χριστῷ, ὀψώνιον Ἀπόστολοι μακάριοι.

Ἀπόστολοι τοῦ Χριστοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἐν τῇ πρὸς Θεὸν ὑμῶν αἰτήσει, μέμνησθε ἡμῶν Ἀπόστολοι, ἀπὸ παντὸς λυτρωθῆναι πειρασμοῦ, δεόμεθα, τοὺς πόθῳ ἀνυμνοῦντας ὑμᾶς.

Δόξα. Τριαδικόν.

Σὲ τὴν τρισυπόστατον Μονάδα, Πάτερ, καὶ Υἱὲ σὺν τῷ Πνεύματι, ἕνα Θεὸν ὁμοούσιον ὑμνῶ, Τριάδα ὁμοδύναμον καὶ ἄναρχον.

Καὶ νῦν. Θεοτοκίον.

Σὲ τὴν παιδοτόκον καὶ Παρθένον, πᾶσαι γενεαὶ μακαρίζομεν, ὡς διὰ σοῦ λυτρωθέντες τῆς ἀρᾶς· χαρὰν γὰρ ἡμῖν ἔτεκες τὸν Κύριον.

Καὶ τὰ λοιπὰ τοῦ Μεγάλου Κανόνος.

Ὠδὴ θ΄. Ἦχος πλ. β΄. Ὁ εἱρμός.

Ἀσπόρου συλλήψεως, ὁ τόκος ἀνερμήνευτος, Μητρὸς ἀνάνδρου, ἄφθορος ἡ κύησις· Θεοῦ γὰρ ἡ γέννησις, καινοποιεῖ τὰς φύσεις· διό σε πᾶσαι αἱ γενεαί, ὡς Θεόνυμφον Μητέρα, ὀρθοδόξως μεγαλύνομεν. (δίς)

Τροπάρια.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὁ νοῦς τετραυμάτισται, τὸ σῶμα μεμαλάκισται, νοσεῖ τὸ πνεῦμα, ὁ λόγος ἠσθένησεν, ὁ βίος νενέκρωται, τὸ τέλος ἐπὶ θύραις· διό μοι τάλαινα ψυχή, τί ποιήσεις ὅταν ἔλθῃ, ὁ Κριτὴς ἀνερευνῆσαι τὰ σά;

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Μωσέως παρήγαγον, ψυχὴ τὴν κοσμογένεσιν, καὶ ἐξ ἐκείνου, πᾶσαν ἐνδιάθετον, γραφὴν ἱστοροῦσάν σοι, δικαίους καὶ ἀδίκους· ὧν τοὺς δευτέρους ὦ ψυχή, ἐμιμήσω, οὐ τοὺς πρώτους, εἰς Θεὸν ἐξαμαρτήσασα.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὁ Νόμος ἠσθένησεν, ἀργεῖ τὸ Εὐαγγέλιον, Γραφὴ δὲ πᾶσα, ἐν σοὶ παρημέληται, Προφῆται ἠτόνησαν, καὶ πᾶς δικαίου λόγος· αἱ τραυματίαι σου ὦ ψυχή, ἐπληθύνθησαν, οὐκ ὄντος, ἰατροῦ τοῦ ὑγιοῦντός σε.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τῆς Νέας παράγω σοι, Γραφῆς τὰ ὑποδείγματα, ἐνάγοντά σε, ψυχὴ πρὸς κατάνυξιν· δικαίους οὖν ζήλωσον, ἁμαρτωλοὺς ἐκτρέπου,

καὶ ἐξιλέωσαι Χριστόν, προσευχαῖς τε καὶ νηστείαις, καὶ ἁγνείᾳ καὶ σεμνότητι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Χριστὸς ἐνηπίασε, σαρκὶ προσομιλήσας μοι, καὶ πάντα ὅσα, ὑπάρχει τῆς φύσεως, βουλήσει ἐπλήρωσε, τῆς ἁμαρτίας δίχα· ὑπογραμμόν σοι ὦ ψυχή, καὶ εἰκόνα προδεικνύων, τῆς αὐτοῦ συγκαταβάσεως.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Χριστὸς ἐνηνθρώπησε, καλέσας πρὸς μετάνοιαν, λῃστὰς καὶ πόρνας· ψυχὴ μετανόησον, ἡ θύρα ἠνέῳκται, τῆς Βασιλείας ἤδη· καὶ προαρπάζουσιν αὐτήν, Φαρισαῖοι καὶ Τελῶναι, καὶ μοιχοὶ μεταποιούμενοι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Χριστὸς Μάγους ἔσωσε, Ποιμένας συνεκάλεσε, Νηπίων δήμους, ἀπέδειξε Μάρτυρας, Πρεσβύτην ἐδόξασε, καὶ γηραλέαν Χήραν· ὧν οὐκ ἐζήλωσας ψυχή, οὐ τὰς πράξεις οὐ τὸν βίον· ἀλλ᾽ οὐαί σοι ἐν τῷ κρίνεσθαι!

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Νηστεύσας ὁ Κύριος, ἡμέρας τεσσαράκοντα, ἐν τῇ ἐρήμῳ, ὕστερον ἐπείνασε, δεικνὺς τὸ ἀνθρώπινον. Ψυχὴ μὴ ἀθυμήσῃς· ἄν σοι προσβάλῃ ὁ ἐχθρός, προσευχαῖς τε καὶ νηστείαις, ἐκ ποδῶν ἀποκρουσθήτω σοι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Χριστὸς ἐπειράζετο, Διάβολος ἐπείραζε· δεικνὺς τοὺς λίθους, ἵνα ἄρτοι γένωνται· εἰς ὄρος ἀνήγαγεν, ἰδεῖν τὰς βασιλείας, τοῦ κόσμου πάσας ἐν ῥιπῇ. Φοβοῦ ὦ ψυχὴ τὸ δρᾶμα, νῆφε, εὔχου, πᾶσαν ὥραν Θεῷ.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τρυγὼν ἡ φιλέρημος, φωνὴ βοῶντος ἤχησε, Χριστοῦ ὁ λύχνος, κηρύττων μετάνοιαν, Ἡρώδης ἠνόμησε, σὺν τῇ Ἡρωδιάδι. Βλέπε ψυχή μου μὴ παγῇς, τῶν ἀνόμων ταῖς παγίσιν, ἀλλ᾽ ἀσπάζου τὴν μετάνοιαν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὴν ἔρημον ᾤκησεν, ὁ Πρόδρομος τῆς χάριτος καὶ Ἰουδαία, πᾶσα καὶ Σαμάρεια, ἀκούοντες ἔτρεχον, καὶ ἐξωμολογοῦντο, τὰς ἁμαρτίας ἑαυτῶν, βαπτιζόμενοι προθύμως· οὓς αὐτὴ οὐκ ἐμιμήσω ψυχή.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ὁ γάμος μὲν τίμιος, ἡ κοίτη δὲ ἀμίαντος, ἀμφότερα γάρ, Χριστὸς προευλόγησε, σαρκὶ ἐσθιόμενος, καὶ ἐν Κανᾷ δὲ γάμῳ, τὸ ὕδωρ οἶνον ἐκτελῶν, καὶ δεικνύων πρῶτον θαῦμα, ἵνα σὺ μετατεθῇς ὦ ψυχή.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Παράλυτον ἔσφιγξε, Χριστὸς τὴν κλίνην ἄραντα, καὶ νεανίσκον, θανέντα ἐξήγειρε, τῆς χήρας τὸ κύημα, καὶ τοῦ Ἑκατοντάρχου, καὶ Σαμαρείτιδι φανείς, τὴν ἐν πνεύματι λατρείαν, σοὶ ψυχὴ προεζωγράφησεν.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Αἱμόῤῥουν ἰάσατο, ἁφῇ κρασπέδου Κύριος, λεπροὺς καθῆρε, τυφλοὺς καὶ χωλεύοντας, φωτίσας ἀνώρθωσε, κωφούς τε καὶ ἀλάλους, καὶ τὴν συγκύπτουσαν χαμαί, ἐθεράπευσε τῷ λόγῳ, ἵνα σὺ σωθῇς ἀθλία ψυχή.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὰς νόσους ἰώμενος, πτωχοῖς εὐηγγελίζετο, Χριστὸς ὁ Λόγος· κυλλοὺς ἐθεράπευσε, τελώναις συνήσθιεν, ἁμαρτωλοῖς ὡμίλει· τῆς Ἰαείρου θυγατρός, τὴν ψυχὴν προμεταστᾶσαν, ἐπανήγαγεν ἁφῇ τῆς χειρός.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τελώνης ἐσῴζετο, καὶ Πόρνη ἐσωφρόνιζε, καὶ Φαρισαῖος, αὐχῶν κατεκρίνετο· ὁ μὲν γάρ, Ἱλάσθητι, ἡ δέ, Ἐλέησόν με· ὁ δὲ ἐκόμπαζε, βοῶν· Ὁ Θεὸς εὐχαριστῶ σοι· καὶ ἑξῆς τὰ τῆς ἀνοίας ῥητά.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ζακχαῖος Τελώνης ἦν, ἀλλ᾽ ὅμως διεσῴζετο, καὶ Φαρισαῖος, ὁ Σίμων ἐσφάλλετο, καὶ Πόρνη ἐλάμβανε, τὰς ἀφεσίμους λύσεις, παρὰ τοῦ ἔχοντος ἰσχύν, ἀφιέναι ἁμαρτίας· ὃν ψυχὴ σαυτῇ ἱλέωσαι.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὴν Πόρνην ὦ τάλαινα, ψυχή μου οὐκ ἐζήλωσας, ἥτις λαβοῦσα, μύρου τὸ ἀλάβαστρον, σὺν δάκρυσιν ἤλειψε, τοὺς πόδας τοῦ Κυρίου· ἐξέμαξε δὲ ταῖς θριξί, τῶν ἀρχαίων ἐγκλημάτων, τὸ χειρόγραφον ῥηγνύντος αὐτῇ.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Τὰς πόλεις αἷς ἔδωκε, Χριστὸς τὸ Εὐαγγέλιον, ψυχή μου ἔγνως, ὅπως κατηράθησαν· φοβοῦ τὸ ὑπόδειγμα, μὴ γένῃ ὡς ἐκεῖναι· ταῖς ἐν Σοδόμοις γὰρ αὐτάς, ὁ Δεσπότης παρεικάσας, ἕως ᾎδου κατεδίκασε.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Μὴ χείρων ὦ ψυχή μου, φανῇς δι᾽ ἀπογνώσεως, τῆς Χαναναίας, τὴν πίστιν ἀκούσασα· δι᾽ ἧς τὸ θυγάτριον, λόγῳ Θεοῦ ἰάθη. Υἱὲ Δαυῒδ σῶσον κἀμέ, ἀναβόησον ἐκ βάθους, τῆς καρδίας ὡς ἐκείνη Χριστῷ.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Σπλαγχνίσθητι σῶσόν με, Υἱὲ Δαυῒδ ἐλέησον ὁ δαιμονῶντας, λόγῳ ἰασάμενος· φωνὴν δὲ τὴν εὔσπλαγχνον, ὡς τῷ Ληστῇ μοι φράσον· Ἀμὴν σοι λέγω μετ᾽ ἐμοῦ, ἔσῃ ἐν τῷ Παραδείσῳ, ὅταν ἔλθω ἐν τῇ δόξῃ μου.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ληστὴς κατηγόρει σοι, Ληστὴς ἐθεολόγει σοι· ἀμφότεροι γάρ, σταυρῷ συνεκρέμαντο. Ἀλλ᾽ ὦ Πολυεύσπλαγχνε, ὡς τῷ πιστῷ Ληστῇ σου, τῷ ἐπιγνόντι σε Θεόν, κἀμοὶ ἄνοιξον τὴν θύραν, τῆς ἐνδόξου Βασιλείας σου.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἡ κτίσις συνείχετο, σταυρούμενόν σε βλέπουσα· ὄρη καὶ πέτραι, φόβῳ διεῤῥήγνυντο· καὶ γῆ συνεσείετο, καὶ ᾍδης ἐγυμνοῦτο· καὶ συνεσκότασε τὸ φῶς, ἐν ἡμέρᾳ καθορῶν σε, Ἰησοῦ, προσηλωμένον σαρκί.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Ἀξίους μετανοίας, καρποὺς μὴ ἀπαιτήσῃς με· ἡ γὰρ ἰσχύς μου, ἐν ἐμοὶ ἐξέλιπε· καρδίαν μοι δώρησαι, ἀεὶ συντετριμμένην· πτωχείαν δὲ πνευματικήν, ἵνα ταῦτά σοι προσοίσω, ὡς δεκτὴν θυσίαν μόνε Σωτήρ.

Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

Κριτά μου καὶ γνῶστά μου, ὁ μέλλων πάλιν ἔρχεσθαι, σὺν τοῖς Ἀγγέλοις, κρῖναι κόσμον ἅπαντα, ἱλέῳ σου ὄμματι, τότε ἰδών με φεῖσαι· καὶ οἴκτειρόν με Ἰησοῦ, τὸν ὑπὲρ τὴν πᾶσαν φύσιν, τῶν ἀνθρώπων ἁμαρτήσαντα.

Τῆς Ὁσίας Μαρίας τῆς Αἰγυπτίας.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀπάσας ἐξέστησας, τῇ ξένῃ πολιτείᾳ σου, Ἀγγέλων τάξεις, βροτῶν τὰ συστήματα, ἀΰλως βιώσασα, καὶ φύσιν ὑπερβᾶσα· ἀνθ᾽ ὧν ὡς ἄϋλος τοῖς ποσίν, ἐπιβαίνουσα Μαρία, Ἰορδάνην διεπέρασας.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸν κτίστην ἱλέωσαι, ὑπὲρ τῶν εὐφημούντων σε, ὁσία Μῆτερ, ῥυσθῆναι κακώσεων, καὶ θλίψεων τῶν κύκλῳ, συνεπιτιθεμένων· ἵνα ῥυσθέντες τῶν πειρασμῶν, μεγαλύνωμεν ἀπαύστως, τὸν δοξάσαντά σε Κύριον.

Τροπάριον τοῦ Ἁγίου Ἀνδρέου Κρήτης.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀνδρέα σεβάσμιε, καὶ Πάτερ τρισμακάριστε, Ποιμὴν τῆς Κρήτης, μὴ παύσῃ δεόμενος, ὑπὲρ τῶν σὲ ὑμνούντων· ἵνα ῥυσθῶμεν πάσης, ὀργῆς καὶ θλίψεως καὶ φθορᾶς, καὶ πταισμάτων ἀνεικάστων, οἱ τιμῶντές σου τὴν μνήμην πιστῶς.

Δόξα. Τριαδικόν.

Τριὰς ὁμοούσιε, Μονὰς ἡ τρισυπόστατος, σὲ ἀνυμνοῦμεν, Πατέρα δοξάζοντες, Υἱὸν μεγαλύνοντες, καὶ Πνεῦμα προσκυνοῦντες, τὸν ἕνα φύσει ἀληθῶς, Θεὸν ζωήν τε καὶ ζωάς, βασιλείαν ἀτελεύτητον.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν Πόλιν σου φύλαττε, Θεογεννῆτορ ἄχραντε· ἐν σοὶ γὰρ αὕτη, πιστῶς βασιλεύουσα, ἐν σοὶ καὶ κρατύνεται, καὶ διὰ σοῦ νικῶσα, τροποῦται πάντα πειρασμόν, καὶ σκυλεύει πολεμίους, καὶ διέπει τὸ ὑπήκοον.

Καὶ αὖθις τὸν Εἱρμόν, εἰς μέλος ἀργόν.

Ἀσπόρου συλλήψεως, ὁ τόκος ἀνερμήνευτος, Μητρὸς ἀνάνδρου, ἄφθορος ἡ κύησις· Θεοῦ γὰρ ἡ γέννησις, καινοποιεῖ τὰς φύσεις· διό σε πᾶσαι αἱ γενεαί, ὡς Θεόνυμφον Μητέρα, ὀρθοδόξως μεγαλύνομεν.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

* * *

Εἶτα τὸ Φωταγωγικόν,
τὸ τοῦ ἤχου τῆς ἑβδομάδος, ἐκ γ΄.

Ἦχος δ΄.

Ὁ τὸ φῶς ἀνατέλλων τῷ κόσμῳ σου, τὴν ἐν σκότει ψυχήν μου ὑπάρχουσαν, ἀπὸ πάσης ἁμαρτίας καθάρισον, πρεσβείαις τῶν Ἀποστόλων, καὶ σῶσόν με.

Εἰς τὸ β΄· πρεσβείαις (τοῦ ἁγίου τοῦ ναοῦ), καὶ σῶσόν με.

Εἰς τὸ γ΄· διὰ τῆς Θεοτόκου, καὶ σῶσόν με.

* * *

## ΑΙΝΟΙ

[Ἀναγινώσκονται οἱ ψαλμοὶ τῶν αἴνων.]

Ψαλμὸς ρμη΄ (148).

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ Δυνάμεις αὐτοῦ. Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη· αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς. Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν. Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου· ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν. Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται. Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι. Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ. Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι· Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά· Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς. Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων. Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου. Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ. Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

Ψαλμὸς ρμθ΄ (149).

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων. Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ οἱ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν. Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ, ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ. Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν. Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν. Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς, τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Ψαλμὸς ρν΄ (150).

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* * *

## ΔΟΞΟΛΟΓΙΑ

Εἰ δέ ἐστι Τεσσαρακοστή, ἢ ἄλλη ἡμέρα μὴ ἔχουσα Δοξολογίαν μεγάλην, μετὰ τὸ εἰς

τοὺς Αἴνους, Δόξα... Καὶ νῦν..., λέγομεν οὕτω·

Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία. Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν. Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα. Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου. Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς. Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν. Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με· ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι. Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε. Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα· συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε· φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* * *

## ΤΑ ΠΛΗΡΩΤΙΚΑ

Εἶτα ὁ διάκονος λέγει τὰ Πληρωτικά, ὁ δὲ χορὸς ἀποκρίνεται εἰς μὲν τὰς δύο πρώτας δεήσεις διὰ τοῦ Κύριε, ἐλέησον, εἰς τὰς ἑπομένας ἓξ διὰ τοῦ Παράσχου, Κύριε, εἰς δὲ τὴν τελευταίαν διὰ τοῦ Σοί, Κύριε.

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ ἱερεὺς ἐκφώνως·

Ὅτι Θεὸς ἐλέους, οἰκτιρμῶν καὶ φιλανθρωπίας ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεὺς εὐλογῶν· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας·

Κύριε ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν καὶ τῷ παντεφόρῳ σου ὄμματι ἐπιβλέπων ἐπὶ πᾶσαν τὴν κτίσιν, σοὶ ἐκλίναμεν τὸν αὐχένα τῆς ψυχῆς καὶ τοῦ σώματος καὶ δεόμεθά σου, ἅγιε ἁγίων· Ἔκτεινον τὴν χεῖρά σου τὴν ἀόρατον ἐξ ἁγίου κατοικητηρίου σου καὶ εὐλόγησον πάντας ἡμᾶς· καὶ εἴ τι ἡμάρτομεν ἑκουσίως ἢ ἀκουσίως, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, δωρούμενος ἡμῖν τὰ ἐγκόσμια καὶ ὑπερκόσμια ἀγαθά σου.

Ἐκφώνως·

Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σῴζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

* * *

## ΤΑ ΑΠΟΣΤΙΧΑ

Καὶ ψάλλομεν τὰ ἀπόστιχα τῶν αἴνων. ὡς ἐν τῷ Τριῳδίῳ. Ἄρχεται δὲ ὁ α΄ χορός.

Τὸ παρὸν Ἰδιόμελον. Ἦχος πλ. δ΄.

Ταῖς λῃστρικαῖς ἐφόδοις, περιπεσοῦσα ψυχή μου, δεινῶς τετραυμάτισαι, ἐξ οἰκείων πταισμάτων, παραδοθεῖσα ἀνοήτοις ἐχθροῖς· ἀλλ᾽ ὡς ἔχουσα καιρόν, ἐν κατανύξει βόησον· Ἐλπὶς ἀπηλπισμένων, ζωὴ ἀπεγνωσμένων, Σωτὴρ ἀνάστησον, καὶ σῶσόν με.

Στίχ. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν. Ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν εὐφρανθείημεν, ἀνθ᾽ ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά· καὶ ἴδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Καὶ πάλιν τὸ αὐτό.

Ταῖς λῃστρικαῖς ἐφόδοις, ...

Στίχ. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ᾽ ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ᾽ ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Μαρτυρικόν. Ἦχος ὁ αὐτός.

Τὸν θώρακα τῆς Πίστεως, ἐνδυσάμενοι καλῶς, καὶ τῷ τύπῳ τοῦ Σταυροῦ, καθοπλίσαντες ἑαυτούς, στρατιῶται εὐσθενεῖς ἀνεδείχθητε, τοῖς τυράννοις ἀνδρείως ἀντικατέστητε, καὶ διαβόλου τὴν πλάνην κατηδαφίσατε· νικηταὶ γενόμενοι, τῶν στεφάνων ἠξιώθητε· πρεσβεύσατε ἀεὶ ὑπὲρ ἡμῶν, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ὁ αὐτός.

Δέχου τὰς φωνὰς τῶν οἰκετῶν σου, πάναγνε Παρθένε Θεοτόκε, καὶ πρέσβευε ἀπαύστως, πλημμελημάτων λύσιν, καὶ εἰρήνην δωρηθῆναι ἡμῖν.

* * *

Εἶτα ὁ προεστὼς ἢ ὁ ἱερεύς·

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. (Ψαλμ. ϟα΄ 2-3)

Ὁ ἀναγνώστης·

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. (ἐκ γ΄)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν.

Καὶ λέγομεν τὸ παρὸν ἀπολυτίκιον.

Ἐν τῷ ναῷ ἑστῶτες τῆς δόξης σου, ἐν οὐρανῷ ἑστάναι νομίζομεν, Θεοτόκε, πύλη ἐπουράνιε, ἄνοιξον ἡμῖν τὴν θύραν τοῦ ἐλέους σου.

* * *

## ΑΠΟΛΥΣΙΣ

Εἶτα τό· Κύριε, ἐλέησον (μ΄).

Δόξα. Καὶ νῦν.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ * καὶ ἐνδοξοτέραν * ἀσυγκρίτως τῶν Σεραφίμ, * τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, * τὴν ὄντως Θεοτόκον, * σὲ μεγαλύνομεν.

Ἐν ὀνόματι Κυρίου, εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Εἶτα ὁ προεστὼς ἢ ὁ ἀναγνώστης·

Ἐπουράνιε Βασιλεῦ, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν στερέωσον· τὴν πίστιν στήριξον· τὰ ἔθνη πράϋνον· τὸν κόσμον εἰρήνευσον· τὴν ἁγίαν Ἐκκλησίαν (ἢ Μονὴν) καὶ πόλιν (ἢ νῆσον, ἢ κώμην) ταύτην καλῶς διαφύλαξον· τοὺς προαπελθόντας πατέρας καὶ ἀδελφοὺς ἡμῶν ἐν σκηναῖς Δικαίων τάξον· καὶ ἡμᾶς ἐν μετανοίᾳ καὶ ἐξομολογήσει παράλαβε, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἶθ᾽ οὕτω, μετανοίας μεγάλας (γ΄), λέγοντες καθ᾽ ἑαυτούς, ἐν ἑκάστῃ μετανοίᾳ, ἀνὰ ἕνα στίχον τῆς ἑπομένης εὐχῆς τοῦ ὁσίου Ἐφραὶμ τοῦ Σύρου·

Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου, πνεῦμα ἀργίας, περιεργίας, φιλαρχίας, καὶ ἀργολογίας, μή μοι δῷς.

Πνεῦμα δὲ σωφροσύνης, ταπεινοφροσύνης, ὑπομονῆς, καὶ ἀγάπης χάρισαί μοι τῷ σῷ δούλῳ.

Ναί, Κύριε Βασιλεῦ, δώρησαί μοι τοῦ ὁρᾷν τὰ ἐμὰ πταίσματα, καὶ μὴ κατακρίνειν τὸν ἀδελφόν μου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ δὲ ταύτας, ἑτέρας μικρὰς ιβ΄ εἶτ᾽ αὖθις μετάνοιαν μεγάλην μίαν, λέγοντες πάλιν τὸν τελευταῖον στίχον τῆς ἀνωτέρω εὐχῆς.

Ναί, Κύριε Βασιλεῦ, δώρησαί μοι τοῦ ὁρᾷν τὰ ἐμὰ πταίσματα, καὶ μὴ κατακρίνειν τὸν ἀδελφόν μου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ ἱερεὺς τὴν μεγάλην ἀπόλυσιν·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων ἀποστόλων· τῶν ἁγίων, ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· τοῦ ἁγίου (τοῦ ναοῦ)· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου (τῆς ἡμέρας), καὶ πάντων τῶν ἁγίων ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ στραφεὶς πρὸς τὴν εἰκόνα τοῦ Χριστοῦ ἐπιλέγει·

Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Οἱ χοροὶ καὶ σύμπας ὁ λαός· Ἀμήν.

* * * * *